ἔργα, ἕως ἂν μὴ τὸν ἀσέρα ἢ ἄρκτον ἀφίκηται τῆς
ἑῴας ἀναβάσεως. τύπον γὰ διαζαφέντων,
ἀκόλεθα τὰ ἑξῆς ἔτι.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Μῆνα γὰ λιμαιῶνα.] τὸν Χοιὰκ, ἤγουν τὸν
Γαυγάμηλιον, ὃς Λιμαιὼν παρ' Ἕλλησι καλεῖται,
ἢ ὅπ. ἢ τῆς ὥρας συγκαμλὴ χρὴ τοῦτον ἐγίνετο,
ἢ ἅπ τῦ τ' λιμαῶν αὐτῷ Διονύσῳ ἑορτὴν τὴν
λεγομένην ἀμβροσίαν ἐτέλουν, ἢ παρὰ Ῥω-
μαίοις βρυμάλια καλεῖ γὰ βρέμω γὰ παρ' αὐ-
τοῖς ὁ Διόνυσος. τοῦτον γὰ τὸν μῆνα κελεύει
σπεφθάνειν, καὶ σπελλαύειν, καὶ σπὸ αὐτῦ ἀπαρτί-
ζειν τὰ τῦ ἀσέρος, καὶ ἐκφυγεῖν τὸν τότε κίνδυνον, ὃς
τὴ βορέᾳ πάντως γίνε γὰ. τὰ γὰρ ὕπ ἐκ
τῆς Ὀρφέως μετεβάλθη. φησὶ γὰρ Ὀρφεύς·

Πολλαὶ δ' ἐρανόθεν καὶ ἐναρίθμιοι ἐν πεδίοιο
Τίμαι ἐνορθρίνη φυγάδες, καὶ δένδρεσιν ἄλλοις,
Οὔρεσί τε, σκοπιαῖς τε, καὶ ἀνθρώποις ἐεργ-
δυμαις

Πυγολαίδας, καὶ ἔτους ἀμυδίους. αἱ γὰρ ὀπῶραι
Τρίπους καὶ δῦσαι ἐν ἄρκτῳ, ὀδὲ πρὸς ἀνθρώ-
πους
Πρόκλασκεν μεγάροισι δύσα γὰ χρὴ γῆας ἀλᾶ-
σθαι

Ψυχεῖ λοιμαλέῳ. πάχη γὰρ ὑπὸ γῆς μίμνει.
Οἱ μὲν γὰρ κατ' Αἰγυπτίους, καὶ Ῥωμαίους, καὶ Ἕλ-
λησιν καὶ Ἀθηναίους, καὶ Ἑβραίους ὀρομαζόμε-
νος. Οἱ τ' Αἰγυπτίων, Τυβὶ, Μεχὶρ, Φαμε-
νὼθ, Φαρμοθὶ, Παχὼν, Παυνὶ, Ἐπεφὶ, Μεσορὶ,
Θωθ, Φαωφὶ, Ἀθὺρ, Χοιάκ. Οἱ τῆς Ῥωμαίων·
Ἰανυάριος, Φεβρυάριος, Μάρτιος, Ἀπρίλλιος,
Μάϊος, Ἰούνιος, Ἰούλιος, Αὔγουστος, Σεπτέμ-
βριος, Ὀκτώβριος, Δεκέμβριος. Οἱ τῆς
Ἑλλήνων· Ἀυδυναῖος, Πειρίθους, Δύστρος,
Ξανθικὸς, Ἀρτεμίσιος, Δάσιος, Πανέμος, Λάος,
Γορπιαῖος, Ὑπερβερεταῖος, Δῖος, Ἀπελλαῖος.
Οἱ τῶν Ἀθηναίων, Ἑκατομβαιὼν, Μουνιχιὼν, Κρό-
νιος, Βοηδρομιὼν, Πυανεψιὼν, Μαιμακτηριὼν,
Ἀνθεστηριὼν, Ποσειδεὼν, Γαμηλιὼν, Ἐλαφη-
βολιὼν, Μουνυχιὼν, Σκιροφοριὼν. Οἱ τῆς
Ἑβραίων, Νισὰν, Σιβὰν, Ἐβὰδ, Θεσρὶ,
Ἀλὼ, Σαβὰτ, Ἀδὰρ, Θαμὶ, Ἀβὰ, Μασραὶ,
Τισρὶ, Ἀδὰρ. κακ' ἡμέρα.] καὶ αἱ ἡμέραι,
δυσχείμερον. βύσδερα.] ἀναιρετικὰ τῆς ζώων
καὶ δερτικά. ἀπὸ γὰ τῦ βοὸς μεῖζόν ὄντος,
συμβεβίλακε καὶ τὰ λοιπὰ τῆς θρεμμάτων.

ἀλδιάδας.] ἔκφυγε. τὸ ἀσφάλματον αὐτὶ
προστακτικῦ. παγάδας.] ταχυτάς. λύσει ε-
γέρας.] καλὼ φορτίδα τιθεῖσαι, καὶ δυσμίεσμα-
τον. Ὅ'στε.] ὅς τις βορέᾳ δὲ τῆς βορειοτέ-
ρων μερῶν τῦ Θράκης πνέων ταράσσει τὸ πέλα-
γος· μεμικέναι γὰ καὶ ἠχεῖν, ἢ συσέλλειν,
καὶ συσφίγγειν ποιεῖ τὰ γλῶ καὶ τὴν ὕλην. δρὺς
ὑψικόμους, ἐλάτας τε.] Δρῦς, καὶ ἐλάτη, εἴδη
δένδρων. βοᾷ.] ἠχεῖ. πίετο.] πολλὴ,
ὡς ἂν ὑδαίσαι τις εἰσαι, διὰ τὸ πλῆθος.

φέσσαιτο.] πιεῖν γὰ, συσέλλοι γὰ. μίζε.]
Μίζεα, τὰ αἰδοῖα· ψυχόμενοι γὰρ οἱ θῆρες τὰς
ὀργὰς φεύ τὰ μέρη τῶν αἰδοίων ὑπογρύπτον γὰ·
αἱ γὰρ ὀρχεις, ὡς ὑδρώδεις καὶ ὀσώδεις, δύσεγ-
τα γὰ. Τῶν καὶ λάχῃ.] ὧν πίνων θηρῶν τὸ θέρ-
μα καὶ ἐν λάχῃ καὶ ἐν τειχώσει κατάσκιον καὶ
ζωπτόμενον. ἀλλά νυ καὶ τῶν.] ἀλλὰ καὶ διὰ
τούτων τῶν θηρῶν, καὶ θασέα ἐχόντων, ὁ βορέᾳς
ψυχρὸς ὢν διάπτει καὶ διακτέει. τὸ γὰ ἄπτει, ἐπὶ τῦ
ἄπτω τὸ πῶμα, ἄπτει ἄπτει. Καί τε διὰ ῥινῦ.]
διέρχε γὰ καὶ διὰ τῦ θέρματος τῦ βοός. Καί
τε δι' αἶγα.] καὶ διὰ τῆς μακροτειχος αἰγὸς
διακλᾷ. οὐδέ μιν ἴσχει.] οὐδὲ μὴν καὶ αὐτὸν ἡ
βορέᾳ κρατεῖ τὸ θέρμα τῦ βοός. πώεα δ' ὑπ.]
διὰ γὰ τῶν πώεων καὶ τῶν σφεδάτων ὑπ διατ-
τέει, ὅτι ζωυχεῖς αἱ πίλαι αὐτῶν, ἀλλὰ
διάπτει διλονότι, τύπον πάντων φεύγοντες ἡλίου

τῆς οἰκυίας παρθένε, ἡ τῷ βορέᾳ δυώδεις.

Ξυλλὸν.] καυσώδη ὑπὸ τῆ ψύχης τὸν γέροντα ποιεῖ. πρὸς ἣ φησὶ τ' ἀσβολώδη ὕπνον φασί· Πῶς δ' ὕπνος διάφυσιν, ὅπου δασέα δέδυκεν. τῷ ἣ μίαν ἀκεσιὼ κεῖθι. ἀπαλόχροα.] τρυφερόσωμα. ἐργ' εἰδῶς πολυχρύσου Ἀφροδίτης.] τῷ ζωπυρίαν, τῷ μίξιν. πολύχρυσον ἣ, ἢ μεταφορικῶς εἶπεν. ὡς ὅταν τιμίαν χρὴ πολὺ, ἢ ὅτι πολλῷ χρυσὸν αἱ γυναῖκες διδῶσιν ἀβδελύσσει συζύγιον. λίπ' ἐλαίῳ.] οἱ μὲν ἄλλοι πάντες λιπαρῷ ἐλαίῳ φασὶ, καὶ χρὴ ἀποκοπῷ καὶ λίπι ἐλαίῳ. ἐγὼ δέ φημι, λίπ' ἐλαίῳ, ἤγουν τὸ ἐξ ἐλαίας κυρίως ἣ καὶ τὰ μακρά, ὡς τὸ βύλομ' ἐγὼ ἠλείφοντο ἣ σφίσιν αἱ παρθένοι τῷ τῆ βαλσάμῳ ἐλαίῳ, ἤγουν τὸ ἐξ ἐλαίας * πόμενοι. ἀνόστεον.] ὁ πολύπους. τένδει.] ἐνδίδει τένδης δὲ ὁ ὀξυπίνης καὶ λαίμαργον. χειμῶνι δὲ πολλῆ γενομένῳ, τὸ ἄσιτον ἢ ἄπτοις, ἐν τῷ ἑαυτῆς φωλεῷ καθημένη τὰς ἰδίας πόδας λιχμάζουσα διαζῇ, τῷ ἀπορεῖσθαι ζῷοις· ὁ ἣ πολύπους ὁ θαλάσσιος τὰς ἑαυτῆ πλοκαμίδας ἐνδίδ. ὅθεν πολλάκις πολύποδες δίεισιν ἣ κολοβόποδες. Ἀεισοτίνης ἣ ὑπὸ παχύφων φυσὶ τύτης, ἀντὶ ὑπὸ τῶν πολυποδῶν, ἐνδίδας. Ἐν τ' ἀντύφῳ οἴκῳ.] Ἄντυρον οἶκον, ἤγουν μὴ ἔχοντα πῦρ καὶ ἦθη. καὶ διατεκεὰς λιγαλέους καὶ ἀγόστους θάνατον, καλεῖ τῷ θάλασσαν. Οὐ γὰρ οἱ ἥλιος.] ἐγὼ δὲ λάμπων παρ' ἡμῖν τότε ὁ ἥλιος, δείκνυσιν αὐτῷ ὁρμηθῆναι πρὸς ὁρμόν. ἀλλὰ τότε δεῖ τὸν τοξότην ἀστέρα, ὃς τὰς μέλανας ἀνδρας τὰς Αἰθίοπας, ἀναιρεῖ καὶ λάμπει. βελτίων ἣ δεῖ τὴν ἡμέραν ἡμῖν τοῖς πανύλλια φαίνει, βορείοις πυγχάνοσι. Καὶ τότε δὴ κερδοί] καὶ τότε δὴ οἱ θῆρες οἱ ἐν τῇ ὕλῃ καὶ τῷ ὄρει κοιμώμενοι, οἵ τε κίεστα ἔχοντες, καὶ οἱ ἄκεροι, φεύγουσιν ἀνὰ τὰ δρυμὰ καὶ τὰ ὄρη βιοστήσαντα, τὰ ὀξυχὰς καὶ φροδόσεις ἔχοντα. φεύγουσι ἣ λυγρὸν, καὶ χαλεπῶς μυλιόωντες, ἤγουν συγκεχυμένοι ὑπὸ τῆ κρύους τὰς μύλας, καὶ τὺς ὀδόντας. ὑπὸ μίρους ἣ τὰς ὅλας αὐτῶν σιαγόνας δηλοῖ. Καὶ πάντες δὴ θῆρες φεύγειν ἐν τοῖς κοίλοις καὶ δασέσι φροντίζουσιν. Οἱ σκέπα.] οἱ πυκνοὶ θῆρες σκέπαι μαίνονται, καὶ ψαλαφῶντες τὰς ὑποῦς κοίλας ἔχουσιν. Καὶ γλάφυ πυρῆνος.] καὶ σκέπασμα, ἤγουν αὐλαιον πυρῶδες. τότε ἣ πρίποδι βροτῷ.] τότε δὴ αὐθρώπῳ χαυνοφάγῳ καυσοφάγῳ, καὶ ἐκὸς γλῶ βλέπειν π, καὶ βαυπείαν κατέχοντι, ὅμοιον παφλάζοντι ἐκὸς τὸ δαίσιον, τῷ νηφάλια καὶ τῷ χίονα τῷ λαμπρῷ ἀλλάμενον καὶ ἀναθύοντα. Τεσσὶ ἣ ὑποκοπαὶ ἐστὰν δὲ ἐχρήσατο, σκέπα, γλάφυ, καὶ πίσα.

Καὶ τότε ἔασαν.] κατ' τὸν χειμέριον τύτον καιρὸν, ὅτε οἱ θῆρες φεύγοντες χωροῦσι ἐκὸς τὰ δάσεα, ἔασαν καὶ ἐνδύσηται ἔρυγμα καὶ φύλαγμα τῷ σώματι, ὡς σε κελεύω, χλαῖναν καὶ πυκνὸν ἱμάτιον μαλακῆς, καὶ χιτῶνα περιέσσατα· μέχρις τῷ τέρματος, ἤγουν τῆς πέδας. Χθόνα δὲ δὴ δεῖ κατὰ τύτον τὸν, καὶ κατὰ τὸν ζωπύδειαν, τὸ λεγόμενον ὑποκάμισον· κατ' ἐμὲ ἣ, καὶ τὺς ἀπειρεσιάτας σῆς πολλοῖς, χιτῶν καὶ φάρος δεῖ τὸ διεζωσμένον ἱμάτιον, ὃ καλοῦμεν ὑπολόεσσαν, καὶ πᾶν τὸ ἄνω διεζωσμένον. Χλαῖνα δὲ, καὶ χλανίσκιον, τὸ νῦν καλούμενον ζωνικόν, καὶ τὸν πυκνὸν ἱμάτιον. Ἔασαν, ὅτ' ἂν ἐνδύομαι, δασμός· ὅθεν εἶμα, τὸ ἱμάτιον. Στήσεις δ' ἐν παύρῳ.] εἰσὶν χλαῖναι μεγάλαι, διὰ ἀσκῶν καὶ τῶν μεγάλων γίνονται, καὶ φασι. ἐν ὀλίγῳ στήσεις πολλὰ χρήσιμα καὶ ὕφασμα μηχανώμενος, καὶ μικρὸν καὶ ὄφελος, καὶ μεγάλοις ἀντὶν ἀφελήσας.

Τῷ φειδωλός.] ταύτῃ τῷ χλαίνῃ τῷ χειμῶνι ἐνδύσῃ, ἵνα σε αἱ τρίχες ἐν τῷ καθεστηκότι ὦσι, καὶ μὴ ψυχρόμενος σε τῆς κεφαλῆς, καὶ ὕπνος τὸν ταύτης δέρματος πικρόν σε ἀνίσταται ὄρθιον. Ἀμφὶ ἣ ποσί.] φησὶ ἣ τοῖς πεζοῖς ἔνδυσαι ὑποδήματα ἀπὸ βοὸς δέρματος μὴ νόσῳ τελετήσαντος· ἀνθυπὸ γὰρ τὰ τοιαῦτα δέρματα, ὡς δαμαδέντα τῇ νόσῳ· ἀλλὰ ἀπὸ δέρματος βοὸς, ἐν τῷ ὑγιῶς καὶ ἐρρωμένος ἔχειν ζωγλότος. Ἅρμενα.] καὶ ἁρμόδια καὶ σφενδονῇ τῷ χειμῶνι καὶ τῷ ζῷ ποδί. δήσασθαι.] ὑποδήσασθαι. φίλους.] Πίλους, κυρίως τοὺς ἐξ ἐρίων πεπλεγμένους καὶ πεπατημένους, καὶ συναρμοσθέντα ὑφάσματα, ἃ οἱ ἰδιῶται νῦν πέτασλά φασι. νῦν ἣ πίλα, τὰ ἀετώδεα. Πρωτογόνων δ' ἐρίφων.] ὑπὸ δέρματος πρωτογόνων ἐρίφων συρράπτειν δέρματα, ποιεῖ ἱμάτια ἐν τῷ χειμῶνι. διατί ἣ ὑπὸ ταύτων; ἵνα δυνατὰ ᾖ τὰ δέρματα, νέων ὄντων καὶ ζωογόνων τῷ αὐτὺς γηγενῶντων τέκνων. τῷ γὰρ τεκόντων πατέρων τὰ τέκνα γηραιὰ καὶ δυνατὰ, ὡς τῷ γηραιῶν μὲν ἀδυνῆ ὄντι τὸ πλεῖστον, ἀλλὰ φρόνιμα. νόμφῃ βοός.] διὰ τὸ ἰσχυρὸν εἶπεν. ἐρίων γὰρ ταῦτα

συῤῥάπτειν

συρράπτου ζεύξαι τε ἁμάξῃ. Η᾽ῷος δ᾽ ὅτε γαῖαν.] χρὴ γὰρ τὸν τότε ὡραιότατον καιρὸν ὅτε τὴν γλῶτταν ἐξαπλῶται, καὶ χίεν ὑπὸ τῆς ἐργασίας ἐν τοῖς γεωργίοις τῆς δεδαιμόνως καὶ σωφρόνως γεωργούντων ἀνθρώπων, ἀλλ᾽ ἀπορος καὶ ἀγαθός.

Ος τε ἀρυσάμενος.] ὅς τις ἀὴρ ἐκ τῆς ὑγρᾶς ἀτμίδων ἀναπαύων καὶ μετεωριζόμενος, ταύτας πνεύματι. καὶ εἰ μὲν παχεῖαι εἶεν, πυκνώσας αὐτὰς πάλιν ὕων καταχέει· εἰ δ᾽ λεπτότερον πνεύματώσας ἐξαιρεῖ. τοῦτον οὖν τὸν χειμέριον εἶδος, ὅτοι χοιὰκ τὸν Γ᾽ερανέιον μῆνα ἀναλαβὼν ἐν τῇ ἀρόσει καὶ τῇ σπορᾷ τὸν τοιοῦτον μῆνα, ἐφύλαξε αὐτὸν ὡς χαλεπώτατον καὶ χειμέριον.

ἀεικέστων.] Λίην ἐόντων. ἐξ ὑδάτων γὰρ τὰ πνεύματα. καὶ Ἡρόδοτος, ὅτι ψυχρᾷ φιλέει αὔξειν γίνεσθαι. μείς γὰρ.] Μείς, ὁ μείν, Αἰολικῶς. χαλεπὸς προσάντοις, χαλεπὸς δ᾽ ἀνθρώποις.] χαλεπὸς ἐ μόνον τοῖς μὴ ἔχουσι βοσκήματα, ἀλλὰ καὶ τοῖς ἀνθρώποις, καθ᾽ ὅσον ἐκεῖνον τὸν χειμῶνα κεκτημένοις τὴν ἀποδοσιν. Τῆμος δ᾽ ἅμυδις.] τότε (φησὶ) τὸν χειμέριον μῆνα τῆς εὐθυμίας Ησίοδος, τὸ ἦμυ δίδυ τοῖς βουσὶν, ὅτι μακρῶν ἐσῶν τῶν νυκτῶν τότε καθεύδουσι, καὶ ἐ κοπιῶσι τοσοῦτον, ὅσον θέρος. τοῖς δ᾽ ἀνθρώποις, δίδυ πλεῖον τῆς ζοφῆς τ᾽ θέρος εὐθυμίης ἐκείνους διδόδς, ὅτι καὶ ἐν ταῖς μακραῖς ταύταις νυξὶν ἐγειρόμενοι ἔνιστι τι ἐργάζονται, καὶ ἐκ αὐτῶσι, καθεύδουσι οἱ βόες. καὶ ὅτι ἐν χειμῶνι πλέον ἐθίομεν οἱ ἄνθρωποι, ἡμῶν τὸ δέρματος ψυχομένου τῇ ψύχῃ καὶ τῆς θερμότητος ἔνδον χαρίσας, καὶ πιπίσκων ἑαύτου τὰ ἐδιόμενα. Συναειρομένης ἡμῖν εἰς πέψιν καὶ τῆς μακρᾶς ταύτης νυκτός. Ἀ᾽ μαυροφόρος.] Ζοφῆς, ὡς Συναρμοσθέσας τὰ μέλη.

Ταῦτα φυλασσόμενος.] ταῦτα πρῶν μὲν (φησὶ) τὰ παρεγγέλματα, ἄχρις ὅλου ἐνιαυτοῦ, ἀπὸ θέρους, μέχρι καὶ θέρους ἔξιτε, καὶ λεγοπορέγει τὰς ἡμέρας καὶ τὰς νύκτας, καὶ εἰ μὲ μακραὶ καὶ ἐργάσιμοι τοῖς βουσὶν αἱ ἡμέραι, δίδυ τῷ δίκαιον τότοις ζοφῷ. εἰ δ᾽ τὐναντίον αἱ νύκτες μακραὶ καὶ ἀέργοι, δίδυ τότοις ἐλάσσονα τῷ ζοφῷ, πλείονα δ᾽ τοῖς ἀνθρώποις, δι᾽ ἃς αἰτίας ἔφημεν. Αὖθις.] ἡ Κοινὴ διάλεκτος καὶ Ἰωνὶς, καὶ εἰς τὐπίσω καὶ πάλιν ταὖ χάρον· ἡ δ᾽ Ἀττικὴ, Σ.

Εὖτ᾽ αὖ δ᾽ ἑξήκοντα μετ᾽ ἔσπερα πελλόνα
Χειμέρι᾽ ἐντελέσῃ Ζεὺς ἤματα, δὴ τότ᾽ ἀστὴρ
Ἀρκτοῦρος, λείψας περιμήκετον Ὠκεανοῖο
Πρῶτα πατμφαίνων, ὑπερέλλετ᾽ ἀκροκνέφαιος.
Τόνδε μετ᾽ ὀρθρογόη Πανδιονὶς ὤρτο χελιδὼν
Ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο.
Τὴν φθάμενος, ὀπάσας τρυγᾶν μύκετα· οὐ γὰρ ἄμεινον.
Ἀλλ᾽ ὁπότ᾽ ἂν φερέοικος ἐπ᾽ ἰχνύων ἐν φυτὰ βαίνῃ
Πληϊάδας φεύγων, τότε δὴ σκάφος ὑκέτι οἰνεῖν·
Ἀλλ᾽ ἀρπὰς τε χαρασσόμενος, καὶ δμῶας ἐγείρειν.
Φεύγειν δὲ σκιερὰς θαλίας καὶ κοῖτον ἅπαντα,
Ὥρη ἐπ᾽ ἀμητοῦ, ὅτε τ᾽ ἠέλιος χρόα καρφῇ·
Τημῶτος τρυγᾶν καὶ οἴκαδε καρπὸν ἀγείρειν,
Ὄρθρου ἀϊομένου, ἵνα τοι βίος ἄρκιος ἔῃ.
Ἠὼς γάρ τ᾽ ἔργοιο δίκην ἐπαμείρεται αἶσαν.
Ἠὼς τοι προφέρει μὲν ὁδὸν, προφέρει δὲ καὶ ἔργου·

When sixty days after the solstice
Winter Jupiter shall have completed,
Then the star
Arcturus, leaving the immense Ocean,
Shall first shine forth, rising the earlier in the evening.
After him the early-waking Pandionian swallow
Shall rush forth to the light of men, when spring is beginning.
Before her, pruning, but not gathering the vines; for it is not better.
But when the house-bearing [snail] on the tips of the vines
Shall climb, flying the Pleiades, then no longer
Is it time to dig the vines, but to whet the sickle,
And rouse the slaves, and to shun shady slumbers and sleep,
When it is harvest, and the sun parches the skin.
Then to gather the fruit home, when the morning is dawning,
That your livelihood may be sufficient.
For Aurora takes a share of the day's work.
Aurora goes before the road, and goes before the work.

Quum ſexaginta poſt verſiones ſolis
Hybernos perfecerit Iupiter dies, tunc ſane ſtella
Arcturus relinquens immenſum fluctum Oceani,
Primus totus apparens exoritur veſpertinus.
Poſt hunc mane lugens Pandionis prorumpit hirundo
Ad lucem hominibus, verè nuper cœpto.
Hanc prævertens, vites inciditoſic enim melius.
At cum domi porta teſtudo a terra plantas aſcenderit,
Pleiades fugiens, tunc non amplius fodiendæ vites,
Sed falceſque acuito, ſeruoſque excitato.
Fugito vero vmbroſas tabernas, & ad auroram cubile,
Tempore meſſis, quando ſol corpus exiccat:
Tunc feſtina, & domum fruges congrega,
Diluculo ſurgens, vt tibi ſufficiens ſit:
Aurora enim operis tertiam ſortitur partem.
Aurora tibi promouet quidem viam, promouetque laborem:

Ἠὼς

Ἠὼς ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθε
Ἀνθρώπους, πολλοῖσι δ' ὄπι ζυγὰ βουσὶ τίθησιν.

Aurora quæ apparens multos ingredi fecit viam
Homines, pluribus vero iuga bobus impouit.

ΜΟΣΧΟΠΟΥΛΟΥ.

Εὖ τ' αὖ δ' ἑξήκοντα.] ὁπλιτικὰ δ' αὖ μὴ τὰς ζῳὰς τῦ ἡλίυ ἑξήκοντα ἡμέρας χειμερινὰς ὁ Ζεὺς ἐκτελέσῃ, τὰς ἡμέρας εἶπεν χειμερινὰς, νοεῖν ἔδωκεν ὅτι αἱ ζῳαὶ χειμερινά. σαφέστερον δ' αὖ ἐποίει τὸν λόγον, εἰ τὰς μὲν ὥρας ἔλεγε χθονίας, μόνας δὲ τὰς ἡμέρας ἐπῆγε. ἔχω δὴ ἅτως ἵνα σαφέστερον λέγοιτο. καὶ ἔχει τὸ πᾶν ἅτως. ὁπλιτικὰ δ' αὖ μὴ τὰς ὥρας τῦ ἡλίυ τὰς χειμερινὰς ἑξήκοντα ἡμέρας ὁ Ζεὺς ἐτελέσῃ, τότε δὴ ἐρωτῶν ὁ ἀσὴρ ὁ ἀρκτῦρος ὁμοταγὴς ὢν τῇ παρθένῳ, καταλιπὼν τὸν ἱερὸν ῥοῦν τῷ Ὠκεανῷ ὀπτάνει λάμπων, ἀκρονύχιος, ὑπερῤῥιμμένως, αὐτὶ τῦ κατὰ τὸ ἄκρον τῆς νυκτός, ἤγουν κατὰ τινὰ ἑσπέραν· νύφας γὰρ τὸ τῆς νυκτὸς σκότος. μεθ' ὃν, αὐτὶ τῦ μὴ τινὶ ὀπτολιῶ αὐτῷ, ἢ χελιδόνι, ἢ ὀρθρογόῃ, ἤγουν ἢ κατὰ τὸν ὄρθρον χρῶσα, ἢ τῦ Παυδίονος θυγάτηρ, κατὰ τὸν μῦθον, εἰς φῶς ἔρχεται τοῖς ἀνθρώποις, νεωστὶ τῦ ἔαρος καθισαμένυ, ἤγουν ἤδη γενομένυ τῦ ἔαρος. ταύτῃ σεσοφθάσας, αὐτὶ τῦ τινὶ ὀπφαίνειαν αὐτῆς, φείπεται τὰς ἀνάδας ἤγουν τὰς ἀμπέλους. τετέσι κλάδους. ἔτω γὰρ καλὸν τοῦτο ποιεῖν. ἤγουν σὺν τῆς ὀπφαινείας τῇς χελιδόνος καὶ τῦ ἔαρος. Ἀλλ' ὁπόταν ἀν φρέοικος.] ἀλλ' ὁπότ' ἂν ὁ φρέοικος, ἤγουν ὁ κοχλίας ἀπὸ τῆς χθονὸς ἀνὰ τὰ φυτὰ βαίνῃ, τὰς Πλειάδας φεύγων, ἤγουν τινὶ ὀπτολιῷ τῆς Πλειάδων, ἢ γίνεται ἡλίυ μεταβάντος εἰς Διδύμυς. φεύγειν δὲ λέγει τινὶ ὀπτολιῷ τὸ Πλειάδων, ἐπεὶ καὶ τὸν καιρὸν ὅτε ὀπτέλλεσι φεύγει. ἤδη τῆς ἀκτίνων τῦ ἡλίυ ζεοδροτέρων γινομένων, ὡς δοκεῖν τινὶ ὀπτολιῷ φεύγειν αὐτῶν, τότε δὴ ζεάφος τῆς οἰκείων ἤγουν τῆς ἀμπέλων ἀκέπ δέτ· ἀλλὰ τιμᾶτος, ἤγουν τότε, ἀποδῦσ' ἀπὸ κοινῦ, δραπάνας τε χαλάσειεν, καὶ τὰς δύλας διεγείρειν δὴ τὰ ἔργα. φεύγειν δὲ τὰς καταιγίδας καθέδρας, καὶ ἐπ' ἠῶ κοῖτον, ἤγουν καὶ τινὶ καὶ τὸν ὄρθρον ἀνάπαυσιν, ἐν τῇ ὥρᾳ τὸ ἀμητῦ, ὅτε ὁ ἥλιος τὸ ζῶμα ξηραίνει, τότε ἀποδῦσ' καὶ οἰκάδε τὸν καρπὸν ζωάγειν ὅτι τῦ ὄρθρου, ἤγουν καὶ τὸν ὄρθρον ἀνισάμενος, ἵνα σὺν βίᾳ ἔτι ἀκμῇ, ὡς εἴρηται, τὰ θεῶν ζωὴν ὀπτήδεια, ἀφ' ὧν δηλονότι βιοῦνται. ἡ ἠὼς γὰρ ἤγουν ὁ ὄρθρος, πρίτιν μοῖραν ὑπομείνας, ἤγουν ὑπομείζας, ὑποφέρεται, τῦ ἔργυ δὲ διὰ πάσης τὰς ἡμέρας, ὡς τὰ ἐργατῶν καὶ ταύτην ἁμιλλόντων, καὶ ὁ δυνάμενος διὰ πάσης τὰς ἡμέρας ἐργάζεται, τοῦτο τὸ πρίτον καὶ ταύτην δυναμένως ἀνύειν. ἡ ἠὼς, προφέρει μὲν αὐτὶ τῦ ὀπιδιδόν ποιεῖ τὰ ὁδοῦ, ἤγουν τὰ ὁδοιποιείας. προφέρει δὲ αὐτὶ τῦ ὀπιδιδόν ποιεῖ καὶ τὰ ἐργασίας ἡ ἠὼς, ἥτις φανεῖσα πολλὰς ἀνθρώπους ἐπέβησε κελεύθε, τετέστιν ἐπεβίβασεν, ὀπλίζων ἐπέπισεν. ὁδὸν ἐπέβλω, καὶ ὁδῷ ἐπεθέμην, καὶ ὁδὸν ἠλθόμην, τουτέστι.

πολλοῖς δ' ὄπι ζυγὰ βουσὶ τίθησιν.] πολλοῖς δὲ βουσὶν ὀπιτίθησι ζυγά. ἀντὶ τῦ αἰτίαν γίνεται τῦ ὀπιτίθεσθαι ζυγὰ τοῖς βουσὶν ὅτι τῷ ἀρότῳ ἢ τινὶ τὶ ἐργαζέσθαι.

ΠΡΟΚΛΟΥ.

Εὖ τ' αὖ δ' ἑξήκοντα.] ἕως τῦ, ἀκρονύχιος, αὕτη ἐστὶν ἡ ἐπιστολὴ τῦ ἀρκτύρυ. ἐν τῷ ἄκρῳ τῦ καιροῦ τ' νυκτὸς ἀπατέλλοντος· νύφας γὰρ ἡ νὺξ καὶ παρέχειν ἔτος τοῖς ἀστρονόμοις, ἀκρονύχιος τότος καλεῖν. ἐν δὲ τῇ Ἑλλάδι τῇ παρθένῳ συναπατέλλων ὁ ἀρκτοῦρος, εἰκότως μὴ ἑξήκοντα τῆς χειμερινῶν ποιεῖται ἐπιτέλλει· τότε γὰρ ἐν Ἰχθύσιν ἥλιός ἐστι, καὶ ὁ παρθένος ἤδη καὶ πλάμιτρον ἐπέρχει. τοῦτο δὲ ὁ ἀρκτοῦρος. Ἀρκτοῦρος.] ἐν τῇ ἀρκτοφυλάκι ἀστήρ, ὁ μεταξὺ τῆς σκαλῶν αὐτῦ. ἀπατέλλων. ὁ δὲ αὐτὸς Ἀρκτοφύλαξ καλεῖται καὶ Βοώτης. Τὸν δὲ μετ' ὀρθρογόν.] ἕως τῦ, ὡς γὰρ ἄμεινον. ἐν τούτοις ἀμπέλου τομῆς φέρει καιρόν. οἰνάδας γὰρ καλοῦσι τὰς ἀμπέλους, ἤδη φαινομένης ἔαρος μεθ' ἑσπερίαν, ἑπτόλιε, ἀρκτοῦρε καὶ χελιδόνος ἔκφεσιν. ὀρθογόν δὲ ἢ χελιδόνα διὰ τὸν μῦθον, ὃς φησιν αὐτὴν διὰ τὴν λύπην φθῆναι τὴν Φιλομήλαν ἔσαν Ἀηδόνα. Πλάτων δὲ καὶ ζῶον λυπούμενον φθεγγόμενόν φησιν, καὶ ἐπὶ αὐτῇ τὴν χελιδόνα καὶ τὴν ἀηδόνα καὶ τὴν ὔπωπα. τί οὖν δεῖ καλεῖν αὐτὴν ὀρθρογόνην, εἰ μὴ ἄρα ὀρθρογόνον χαρακτέον, ὡς τινες. ἄλλως. ὀρθρογόνη, ἢ ἐπὶ τὴν ὄρθρον ἐγειρῦσα. Παυδίων Ἀθηναῖος

δύο

δύο ἔχων θυγατέρας, Πρόκνην καὶ Φιλομήλαν, τὴν Πρόκνην ἐξέδωκε τινὶ Θρᾳκῶν, τύραννον Τηρεῖ, καὶ λαὸν εἶχεν ἐν τῇ Θρᾴκῃ. ἔχει δὴ Πρόκνη δύο παῖδας. μετ' ὀλίγον δὲ χρόνον ἦλθεν εἰς Τήρηκα ἐπισκέψασθαι τὴν ἀδελφὴν Φιλομήλαν· καὶ τῆς Πρόκνης πάλιν μεταπεμψαμένης αὐτὴν, κατασκευάζει αὐτὴν ἀνιέρωμαον ἑαυτοῦ ὁ Τηρεύς. θεασάμενος δ' ἐρημίας μεταξὺ τῆς ὁδοῦ, τῷ τρόπῳ τῷ οἰκείῳ ἐπείλησεν ἄξιον. τὴν γὰρ τῆς γυναικὸς ἀδελφὴν Φιλομήλαν ἐπεθύμησε, καὶ μόνον οὐκ ἀποφθείρει, ἀλλὰ φοβεῖται ἀφαιρεῖ αὐτῆς τὴν γλῶσσαν, ἵνα μὴ τῇ ἀδελφῇ ἐξείπῃ τὸ γεγονός. ἡ δὲ μὴ δυναμένη λαλῆσαι τῇ ἀδελφῇ διὰ τὸ τῆς γλώττης πάθος, κατασκευάζει τὸ γεγονὸς δηλοῦσθαι τῷ ἱστῷ. ταύτην δὲ ὁ Ζεὺς μετέβαλεν εἰς ὄρνεον χελιδόνα.

Ἀλλ' ὁπότ' αὖ φερέοικος.] ἕως τοῦ [ἀρκεῖ ἔτι.] ὁ μὲν Θρᾴξ Διονύσιος ἔλεγε φερέοικον τὸν κοχλίαν. ἐπιτιμῶσι δέ φησιν αὐτῷ πρὸς τοῦτο λέγοντι Ἀρχέδαι. εἰ γὰρ ἐν Ἀρκαδίᾳ τὸν φερέοικον, ὁρᾷν μελίπνοα οἰκότα σμικρότατα, καρφὴ καὶ συρφετὸν ἑαυτῷ ζωάγοντα, στεγοποιεῖσθαι διὰ τὰς χειμῶνας, βαίνειν δὲ ἀνὰ τὰ φυτὰ θέρους· τὸν δὲ κοχλίαν μὴ φαίνεσθαι θέρους, ἀλλ' ὀπώρας ὄμβρου ἤδη, ἀφανιζόμενον φαίνεσθαι διὰ τῆς φυτῶν βαίνειν, ἕλκοντα τὸ κῦφον ἐξόπισθεν ὄστρακον. τοῦτο μὲν δὴ ὅπως αὖ ἔχει χαρέτω. ἀχελαΐδες δὲ διὰ τοῦτο μὴ Πλειάδων ἐπιτολήν, ἢ γίνεται ἡλίου μεταβάντος εἰς Διδύμους, μὴ δὲ χειμῶνος ἔτι τομῆς ἀμπέλου καὶ σκάφης· ἤδη γὰρ ἡ γῆ ξηραίνεται. δὴ Σκαλέως οὐκ ἐπιτήδειον. καὶ δεῖ τοῦ ἀμπέλου ἐπιτρέφειν τὸν καρπόν, διὸ τέμνειν οὐκ εὐκαίρου αὐτοῦ· καὶ γὰρ γυμνούμενος τότε τοῖς ῥίζας τὸ μὲν καῦμα καὶ ἡ θερμότης ἀλλοιοῖ. καὶ ὅταν τοῦτο γένηται, λέγουσιν οἱ γεωργοὶ τὰς ἀμπέλους ἀσροβολεῖσθαι. τίνα οὖν ἔργα μετὰ χεῖμα ἐστὶν ἢ τὰ νῦν καιόμενα; συλλήβδην εἰπεῖν, ὅσα πρὸς ἄμπελον ἐπιτήδεια, τούτοις τοὺς θρεπτῆρας ὀξύνειν, καὶ παρασκευάζειν τοὺς οἰκέτας πρὸς θερισμόν, καὶ ὑπὸ ἡλίῳ διάγειν, ὃ πεπόνθασι οἱ θερισταί. καὶ μὴ ζυκτεραφεῖν, καὶ μὴ κραβδίζειν ὄρθρου. ἀλλὰ προσεξαρτᾶσθαι τοῖς οἰκέταις, καὶ ἐγείρειν ὅτι τὰ ἔργα αὐτούς. τέλος δὲ τοῦτον ἑαυτῷ παρασκευάζειν οἶκον τὸν βίον καλῶς διὰ τὴν συγκομιδὴν τῶν καρπῶν. Ἠὼς δ' ἔργοιο.] διὰ τοῦτο καὶ τῆς ἕξης τοιῶν ἑκάστου κατατίθεται τὴν ἀρχὴν πολλαχοῦ. λέγει δὲ ἠῶ τὸ πρωΐ μέρος τῆς ἡμέρας, ὡς Ὅμηρος, Ἢ ἠῶ, ἢ δείλην, ἢ μέσον ἦμαρ. ὁ δὲ Ἡσίοδος ἐν τῷ χρόνῳ τὸ πρίν ἔχειν τὴν ἠῶ φησιν, ἀλλὰ τὸ ἔργον, ὃ δεῖ αὐτοῦ διὰ πάσης ἡμέρας, τὸν ὄρθρον τῷ πρίν αὐτοῦ μοῖραν, διὰ τὸ ἀκμάζειν τότε μάλιστα τοὺς ἐργάτας, οἷς καὶ τὰ ἑξῆς ἀκόλουθα. καὶ τοῖς ὁδοιπόροις τὴν ἠῶ προφέρειν, καὶ πᾶσι τοῖς ἐργαζομένοις ὑπηρεσιῶν τέχνῃ, ἃ δὴ πάλιν ἑρμηνεύων ἐπάγει.

πολέας ἐπέβησι κελεύθους.] πολλοὺς μὲν ἐπέβησε κελεύθους, πολλοὺς δ' ἤγειρε εἰς τὸ βουλατεῖν. τὸ γὰρ τὰ ζυγὰ τοῖς βουσὶν ἐπιθεῖναι τοῦτο δηλοῖ. ταῦτα δὲ περὶ τῆς ἐν τῷ ὄρθρῳ σουδῆς. φησὶ οὖν τοῦτον τὸν καιρὸν ἀνεγκτοι καὶ τὴν ἐν τοῖς ἄλλοις μέρεσι τῆς ἡμέρας ἀμβλυώσει ζωτομίαν. τὸν μὲν οὖν Ὅμηρόν φησιν ὁ Πλούταρχος ἐπιθέτοις εἰς τέρψιν εὐδοκιμῆσαι τὴν ἡμέραν κοσμῆσαι, χρυσόπεπλον αὐτὴν λέγοντα, καὶ ῥοδοδάκτυλον· τὸν δὲ Ἡσίοδον μειζόνως ἀπὸ τῆς ἔργων, ἐφ' ἃ δὴ προτρέπει καὶ τοὺς αὐθρώπους, καὶ ἀπὸ τῆς ὠφελείας εἰς τὴν ἐναργῆ μίθεσιν ζωήν.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Εὖτ' αὖ δ' ἑξήκοντα.] ἡνίκα δὲ ἑξήκοντα ἡμέραι χειμέριαι παρέλθωσι, μὴ τὴν χειμερινὴν τροπὴν τοῦ ἡλίου λέγω, τότε ὁ Ἀρκτοῦρος ἀπὸ τοῦ Ὠκεανοῦ ἀνατέλλων, ἀκρόνυχος φαίνεται· μὴ μικρὸν δὲ ἴσα λέγω καὶ τὸ ἔαρ, καὶ ἡ χελιδὼν φαίνεσθαι. περὶ γὰρ τοῦ ἔαρος καὶ τῆς ἐπιφανείας τῆς χελιδόνος φρολαβὼν φησὶ, χλαίδας δέ σε τὰ ἄμπελα. χειμερία δὲ γίνεται τροπὴ τοῦ ἡλίου, ὅταν ἐν Ταύρῳ γένηται ὁ ἥλιος, ἤγουν μοιρῶν δεκαπέντε δέκα, ἢ ὀλίγον τι πλέον, ἢ ἔλασσον. Ζεὺς.] ὁ θερμὸς, ἢ ἡ εἰμαρμένη. ἐν γὰρ τῷ Ζωδιακῷ κύκλῳ τοῦ θέρους, ὁ ἥλιος τὰ τεσσαρακονταδυὰ τμήματα τοῦ δωδεκαζῳδίου διεπολιμεῖ τὰ τῆς ἡμερῶν ἀφαιρῶν διαστήματα. ἡ ὅπερ εἰμαρμένη, ἣν ἡμεῖς φεύγειν θείαν καλοῦμεν, ἔτους ἔταξε τυχθημέρους καὶ νύκτας, καὶ ἐνιαυσιαίους κύκλους ἀποτελεῖσθαι. ἀστὴρ.] τὸ ἄστρον ἀστέρας φησὶ λέγειν. Ἀρκτοῦρος.] τοῦτον γὰρ λέγουσι Κομισοῦς τῆς Λυκάονος θυγατρὸς, Ἀρκάδα καλούμενον. ὅτε Διὸς μιγνυμένου τῇ Κομισοῖ, Ἥρα ζηλοτυπήσασα ταύτην ἄρκτον ἐποίησεν. ἐπερχομένῳ δὲ τῷ Κομισοῖ ἐν κυνηγεσίῳ κατ' αὐτῆς ὁ παῖς ἡγούμενος ἀπεῖλεν. καὶ ὁ Ζεὺς ἐλεήσας αὐτὴν κατεστέρισεν.

σείσειν. ἔστι δ' ὁ ἀστὴρ ὃν καλοῦμεν Ἀρκτοῦρον ἀπὸ τῆς ζώνης τῶ Ἀρκτοφύλακος.

προλιπὼν ἱερὸν ῥοον Ὠκεανοῖο] ἀνατείλας ἐκ τῶ εἰσίοντος, καὶ φανεὶς ἀκρονυκτίαι.

Τὰς ἀκρονυκτίους εἰ μαθεῖν φύσεις θέλεις,
Ἀνατολάς τε καὶ δύσεις τῶν ἀστέρων,
Παρεὶς τὰ πολλὰ τῶν ὑποφύγων λόγων,
Ἄκου τραπὼς ἐξ ἐμοῦ διδαγμάτων.
Ἀστὴρ μὲν μοιρῶν πεντεκαίδεκα πρέχων
Καὶ τοῖς ἄνωθεν ζωδίων ἀναδρόμοις,
Τὸν ἥλιον βλέπων δ' τοῖς κάτω δρόμοις
Ποσὶν ὑπεκφέροντα μοιρῶν ὧν ἔφην,
Ἀνατολῶν ἑῴαν ἐυδρομῶν πρέχει.
Ἐὰν δ' αὖ προδράμοι μεσουρανοῦ τὸν ἥλιον
Μοίρας ἐλάττους, δύπτ' Ἠῶαν πρέχει.
Τὰς πέντε καὶ δέκα δ' τῶν μοιρῶν πάλιν
Ἀστὴρ ὁ ῥηθεὶς ὑστέρησ' ἡλίου
Ἀνατολῶν πρέχει μέν, ἀλλ' ἐξ ἑσπέρας,
Ἑσὸς κατ' αὐτὸς τοὺς κάτω καταδρόμους,
Εἰ δ' αὖ ἐλάττους, τῶν δύπτ τῶν ἑῴαν,
Μοίρας δ' πεντήκοντα προδραμὼν πρέχει.
Μεσουράνημα, καὶ δρόμου ὑψίστατος.
Μοίρας δ' ἑκατὸν ὀγδοήκοντα πρέχων,
Ἀστὴρ ὄπιθεν ἡλίου διαμέτρως
Δυόντος εἰς γῆν, ἀκρονυχία πρέχει.
Ταυτὶ μὲν ἔγωγε, καὶ μαθὼν ὅτῳ νόει,
Πυκνοὺς τὰ πολλὰ τῶν λόγων ληρήματα.

Τὸν δὲ μετ'.] μετὰ δ' ἀκρονυχίαν Ἀρκτοῦρε, ἡ ὀρθρογόη. ἡ μαγαλωσὶ καὶ ὀρθίοις χοῶσα, φαίνεται χελιδών. ὁ δ' σοφώτατος Πρόκλος, τὸν Πλάτωνα φέρων μάρτυρα, φησὶ μηδὲν ὄρνεον λυπούμενον ᾄδειν· ὅθεν οὐδὲ τὴν χελιδόνα ὀρθοβόλιν βάλλειν χαφεῖν. ἡμεῖς δ' ἴσμεν καὶ δίχα μάρτυρος Πλάτωνος, ὅτι οὐδὲν ὄρνεον λυπούμενον ᾄδει· ἀλλὰ δεινῶς καὶ ῥιπτεικῶς ὁ ποιητὴς τὴν λαλιὰν τῆς χελιδόνος, θρῆνον εἶδ. λέγει, κατὰ τὸν μῦθον τῆς τοῦ Πανδίονος θυγατρὸς ὅθεν καὶ τὴν χελιδόνα Πανδίονος καλεῖ θυγατέρα κατὰ τὸν μῦθον, διὰ τὴν γενομένην χελιδόνα, τὴν Φιλομήλαν λέγω. πῶς δ' σὺ ὁμὸν δέξαμεν θρηνεῖν τὴν χελιδόνα, Πανδίονος εἰδέξω θυγατέρα; πῶς δ' ὀρθοβόλιν βάλλει χαφεῖδι ταύτην τὴν ὁλοημέρως βοῶσαν, ἐν ὄρθρῳ δ' μᾶλλον ἢ. ὁ δὲ Πλάτων φησὶ ὄρνεον λέγων φησί, μηδὲν ὄρνεον ᾄδειν λυπούμενον, ἡμῖν φησὶ δόσα μυθικῶς γέγραπται.

Πανδιονίς.] ἡ τοῦ Πανδίονος θυγάτηρ. φασὶ μῦθον τοιόνδε· Πανδίονι Ἀθηναίων, θυγατέρες ἦσαν Πρόκνη, καὶ Φιλομήλα· ὧν τὴν Πρόκνην Τηρεῖ τῷ ἐκ Θρᾴκης δίδωσι πρὸς γάμον, ὃς ἐξ ἐκείνης Ἴτυν γεννᾷ παῖδα δ Τηρεὺς ἐκ Θρᾴκης ἐλθὼν Ἀθήνας, λαμβάνει καὶ τὴν Φιλομήλαν ἀπαγαγεῖν πρὸς τὸν Πρόκνην εἰς Θρᾴκην. ἐν Αὐλίδι δ τῆς Βοιωτίας ἐκπαρθενεύει καὶ ταύτην· καὶ τὴν αὐτῆς γλῶτταν τεμνει. ὅπως μηδὲν ἰσχύῃ φράσαι τῇ ἀδελφῇ· ἡ δ εἰς Θρᾴκην ἐλθοῦσα, δι' ἐργασίας τὸ πᾶν φανερωῖ. Πρόκνη δὲ τὸν υἱὸν ἀποσφάξασα Ἴτυν, ἑστᾷ τὸν Τηρέα. ὁ δ μαθὼν, ὅτι τὸ παιδὸς βεβρώκοι, ἀνελεῖν ταύτας ἔμελλεν. οἱ θεοὶ δ αὐτὰς ἐλεήσαντες, ἀπωρνέωσαν. καὶ Πρόκνη μὲν ἡ ἀηδὼν γεγένηται τοῦ Ἴτυος ὀδύρεται· Φιλομήλα δ χελιδών, Τηρεὺς φησί μιν ἐθίασεν. ὁ δ Τηρεὺς ἔπος γνώμην, τὸ φησίν, αἵ μοι τὸ παιδὸς κατατεμοῦσα θεὸς διωχίαν παρέθηκεν. ταῦτα εἰσὶ τὰ λεγόμενα μυθώδεα. γράφει δ θεὶ τούτῳ Σοφοκλῆς, ἐν τῷ Τηρεῖ δράματι.

οἵας θεὶ ταμέμεν.] τὰς ἀμπέλους κλαδεύειν λέγει· θεὸ δ' ὀπώρας χελιδόνα. καὶ ὅτως μὲν ὁ Ἡσίοδος πυκνὸς καὶ ἁπλῶς φησὶν ἀροτριᾶν τε καὶ φυτεύειν, καὶ σπείρειν, καὶ κλαδεύειν, καὶ πλέκειν, καὶ γαμεῖν, καὶ τὰ ὅμοια. Ὀρφεὺς δ μαθηματικῶς πάντα δεδεκαλόγηκε δρᾶν· ὅς, σελήνης πρεχούσης θεὶ παρθένον, πάντα φυτεύειν, πλὴν μόνων ἀμπέλων· μισεῖ γὰρ ἡ παρθένος τὴν ἄμπελον, διὰ τὸν πατέρα Ἰκάριον. Διὸς ὑδροχόου δεσποτεύοντος μὴ φυτεύσῃς· χαλεπὴ γὰρ τότε λίαν ἐστὶν ἡ θάλασσα. τῷ αὐτῷ Διὸς ἐν Ἰχθύσιν ὄντος, καλὸν γάμους ποιεῖν καὶ τὰ λοιπὰ ὁμοίως.

Ἀλλ' ὁπότ' αὖ φερέοικος.] ἀλλ' ἡνίκα αἱ Πλειάδες ἀνατέλλωσιν, ὥσπερ πρόφασιν ὁ φερέοικος καὶ κοχλίας, ἢ ζῶον ὅμοιον μελίσσῃ παρ' Ἀρκάσιν ὄν, ἀναπτέχει πρὸς τὰ φυτά, τότε μικρὸν σκάφος γινέσθω σοι τῆς ἀμπέλου, μή πως ζοφερῶς φλέγων ὁ ἥλιος ἐγκύψας ταῖς ῥίζαις, ταύτας ὑπεξερέψῃ γυμνωθείσας ἐν τῷ σκαφθῆναι. ἄρπας τε χαρασσέμεναι.] χαράσσω δ τὰ δρέπανα, καὶ τὰς δύλους ἔγειρε, καὶ τὰ πρὸς θέρος εὐτρέπιζε. φεύγε δ τὰς ζωερὰς καθέδρας, καὶ τὸν κοῖτον, ὕπνου τῆς κριτῆς, καὶ τὸν ὕπνον, τῆς μεταπλασμόν. ἐν τῷ καιρῷ δ τοῦ θέρους, τὸν μέχρι φωνῆς. πρὸς τὸ καῦμα δ αὐτοσάμενος φρενοβαρέστερον θέειζε ἐν εὐκράτῳ

τῷ

τῷ ἀέρι τῷ καταπίματι. ἀμπτὸς καὶ ἀσειπὴς, οἱ καιροὶ ἀμπτοὶ ἢ καὶ ἀέρτοι, τὰ ἀειζόμενα καὶ αἰρομενόμενα. κάρφη.] Ἀπλῶς τὰ τοιαῦτα ἅπτα γράφει. Ἴωνες δὲ οὐχ οὕτω ἐκάλουν αὐτά. Τημέτου ἀστύδειν.] τότε ἐν τῷ καιρῷ τοῦ θέρους, ὅταν αἱ Πλειάδες ἀνατέλλωσι, πρωὶ καὶ ὄρθριοι ἀνισάμενοι, ἐώμεν εἰς τὴν οἰκίαν σὺν τὸν καρπὸν, ἵνα ζωὴν ἔχῃς ἀφθόνων. Ἠὼς γὰρ.] ἠὼς τέσσαρα σημαίνει· τὴν ἡμέραν μόνην, τὸ νυχθήμερον, τὸ πρωῖνον κατάσημα, καὶ τὸ καθόλου καὶ ἁπλῶς λέγειν ἡμέραν, ὅπερ οἱ μυθολογοφόροι σωματοειδῆ θέαν ἐπέθεσαν. νῦν δὲ τὸ πρωῖνὸν κατάσημα λέγει καὶ πιεῖν ἔπαινον τοῦ τοιούτου τῆς ἡμέρας κατασήματος, λέγων τὸ πρωῖνὸν καὶ ὄρθριον τῆς ἡμέρας κατάσημα, τὸ ὁλονυκτὲρευ ἔργα τῷ τρίτῳ ἀπομοιρᾶν ἐργάζεσθαι. τοῦτο κάλλιστόν ἐστι καὶ τοῖς ἐργαζομένοις καὶ τοῖς ὀλιγύουσι. τὸ πρωῖνὸν τοῦτο κατάσημα φαμὲν, πολλοὺς μὲν ὁδοιπόρους πρὸς τῷ ὁδὸν παρελθεῖν, πολλοῖς δὲ γεωργοῖς ἐπιζεύξαι τοὺς βόας ὅτι τὰ ζυγὰ, ὡς τὸ ἐργάζεσθαι δηλοῦσι. τὸ δὲ ζυγὰ, ἀντὶ τοῦ ζυγοὺς, μεταπλασμός ἐστι.

Ἧμος δὲ σκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ
Δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
Πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
Τῆμος πόταταί τ' αἶγες & οἶνος ἄριστος·
Μαχλόται δὲ γυναῖκες, ἀφαυρόταροι δέ τε ἄνδρες
Εἰσὶν, ἐπεὶ κεφαλὴν καὶ γοῦνατα Σείριος ἄζει,
Αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος. ἀλλὰ τότ' ἤδη
Εἴη πετραίη τε σκιὴ καὶ βύβλινος οἶνος,
Μᾶζά τ' ἀμολγαίη, γάλα τ' αἰγῶν σβεννυμφάων·
Καὶ βοὸς ὑλοφάγοιο κρέα μήπω τεκούσης,
Πρωτογόνων τ' ἐρίφων. ὅτι δ' αἴθοπα πίνεμεν οἶνον,
Ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῇς·
Ἀντίον ἀκρήεος ἀνέμου ζεφύροιο τετυχὼς,
Κρουνόν τ' ἀενάου καὶ ἀπορρύτου, ἥ τ' ἀθόλωτος·
Τρεῖς ὕδατος πρόχεαι, τὸ δὲ τέτρατον ἴεμεν οἴνου.
Δμῳῶσὶ δ' ἐποπτεύειν Δηοῦς ἱερὸν ἀκτὴν
Δινέμεν, ὄφρ' ἂν πρῶτα φανῇ ἄστρον Ὠρίωνος,
Χώρῳ ἐν ἀἀτῳ, καὶ ἀζοχάλῳ ἐν ἀλωῇ·
Μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἀγγέσιν. αὐτὰρ ἐπὴν δὴ
Πάντα βίον κατάθῃαι ἐπάρκιον ἔνδοθεν οἴκου,
Οἰκῆα ποιεῖσθαι, καὶ ἄτεκνον ἔμμεν ἀνάγκη
Δίζησθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος.
Καὶ κύνα καρχαρόδοντα κομεῖν· μὴ φείδεο σίτου·
Μή ποτέ σ' ἠμερόκοιτος ἀνὴρ ἀπὸ χρήματ' ἕλῃ).

Quum vero carduusque floret,
& canora cicada
Arbori insidens stridulum effundit cantum
Frequenter sub alis, æstatis laborioso tempore,
Tunc pingues capræ, & vinum optimum,
Salacissimæ vero mulieres, & viri imbecillimi
Sunt, quoniam caput, & genua Sirius exiccat,
Siccum vero corpus ob æstum.
Sed tunc iam
Sit petrosaque vmbra & Byblinum vinum,
Libumque lacteum: lacque capratũ non amplius lactantium,
Et bouis arboricolæ caro nondum enixæ,
Tenerorumque hœdorum. præterea nigrum bibito vinum,
In vmbra sedens, animo satiatus cibo,
Contra temperatum ventum obuerso vultu,
Fontemque perennem, ac defluentem, quique illimis sit.
Tertiam aquæ partem infunde, quartam vero misce vino.
Famulis autem impera, Cereris sacrum munus
Triturare, quando primum apparuerit vis Orionis,
Loco in ventoso, & bene planata in area.
Mensura vero diligenter recondito in vasis. sed postquam
Omnem victum depositeris sufficientem intra domum,
Seruum domo carentem conducere, & sine liberis ancillam
Inquirere iubeo: molesta est autem quæ liberos habet ancilla.
Et canem dentibus asperum nutrito: nec parcas cibo:
Ne quãdo tibi interdiu dormienti fur facultates auferat.

Χόρτον δ' ἐσπομίσαι καὶ συρφετὸν, ὄφρά τοι εὖπη
Βουσὶ καὶ ἡμιόνοισιν ἐπητανόν. αὐτὰρ ἔπειτα
Δμῶας ἀναψύξαι φίλα γουνάτα, καὶ βόε λῦσαι.

Fœnum autem importato, & paleas, vt tibi sit
Bobus ac mulis annuum pabulum. sed postea
Serui refocillent chara genua, & boues soluantur.

ΜΟΣΧΟΠΟΥΛΟΥ.

Ἦμος δέ.] ὀπωρίνη ἤ ὅτε σκύλυμος ἀνθεῖ, καὶ ὁ μυσπὸς τέττιξ δένδρῳ ὑπακαθήμενος λιγυρὸν ὠδὴν ὑπὸ πτερύγων.] ᾄδει γάρ φασι ταῖς πτέρυξι τρίβων ἑαυτὸν, ἤγουν τὸ θέρος τὸ καματώδες, ἤγουν ἡ βαρεῖα, τὰ σκηλύοντα τὰ σώματα. τότε καὶ αἱ αἶγες πότατοι εἰσιν, ἤγουν λιπαρώτατοι, μὴ τὸν ὑπογαλακτισμὸν τῆς ἐείφων, εἰς τὸ ἑαυτῶν σῶμα δυπανῶσι τῷ ὕλλῳ· καὶ ὁ οἶνος ἄεις, ὡς τότε ἡδὺ κεκεμένος, τὰς μεταβολὰς τῆς ὡρῶν ἐκφυγών, καθ' ἃς ἦν κίνδυνος πεπάλαι.

Μαχλότατοι δὲ γυναῖκες.] ἤγουν ὅτι ζωπυρίαν μάλιστα ὀργῶσι, ὡς ψυχρότεραι τῷ κρᾶσιν καὶ ὑγρότεραι, καὶ ὑπὸ τοῦ καύματος ἐ καταπνεύμεναι, ἀλλὰ μᾶλλον ἔυκρατοι γινόμεναι, καὶ ὥσπερ ἀναζωπυρούμεναι. ἀσθενέστατοι δὲ οἱ ἄνδρες ἤδ' αἰτία, ἐπεὶ (φησὶ) τῷ κεφαλῷ αὐτῶν καὶ τὰ γόνατα ὁ ἥλιος ξηραίνει. ἀνεπτὸς δὲ γίνεται, ἤγουν ξηρὸς, ὁ χρὼς αὐτῶν ὑπὸ τοῦ καύματος. τῆς ἀνδρῶν δὲ ἄπεφε ὁ ἥλιος, ὡς θερμοτέρων ὄντων καὶ ξηροτέρων, καὶ τούτους ἀσθενεστέρους ποιεῖ· τὰς γυναῖκας δὲ ψυχρὰς ὄσας (ὡς εἴρηται) δυνατωτέρας ποιεῖ. ἀλλὰ τότ' ἤδη εἴη.] αὐτὶ τοῦ ἔσω, πηχαία τὰ σκιά. αὕτη γὰρ βαθεῖα καὶ δίυγρος ὑπὸ τῆς τῶν πηγῶν φύξεως, καὶ ὁ οἶνος ὁ βίβλινος. Βίβλος (ὡς φησι Ποταμὸς ἡ πόλις Θρᾴκης. καὶ μᾶζα ἀμολγαίη, ἤγουν ἄρτος γάλακτι ἐζυμωμένος, ἢ πυρὸς. γάλα τ' αἰγῶν σβεννυμενάων.] ἤγουν τῶν θηλαζόντων παυσαμένων. καὶ κρέας βοὸς ὑλοφάγου, τουτέστιν ἀδαμάστου, νομάδος, μήπω τετοκυίας. ἐκ εἵπετο δὲ ἄρσην, ἐπεὶ ὑπὸ ἑαυτοῦ ὁ ἄρσην ἀσθενέστερός ἐστι, διὰ τὴν ἐπιθυμίαν τοῦ ἔρωτος. καὶ φορητὸν ἐείφων κρέας, ὑπιπίειν δή σε φάσκω ὁμαδὸν αἴθοπα οἶνον, ἤγουν κρασικὸν, ἐν σκιᾷ καθεζόμενον, κεκορεσμένον τῷ ψυχρῷ ξηρῷ, ἐναντίον τρέφοντα τὰ πεφυσωμένα, τουτέστι τὸ πεφύσωσθαι· ὡς τὰ πέπτα, αὐτὶ τοῦ, τὸ πέπτον. τὸ ζεφύρου τοῦ ἀκραίου, ἤγουν τοῦ καθαροῦ καὶ ἀμιγοῦς, ἢ τοῦ πρέμα πνέοντος. καὶ ὑπὸ τοῦ ὕδατος κρυώης ἀσκάν καὶ ὑποβύσσου, ἤγουν κινουμένης ἐν παραλλήλῳ, ἥτις ἐστὶν ἀθόλωτος, ἤγουν καθαρὰ καὶ λεπτὸν ποιοῦσα τὸ ἑαυτῆς ὕδωρ τῇ κινήσει. ἢ εἰς πεφυχεῖν, αὐτὶ τοῦ ἐγχεῖν. τὸ δὲ τέταρτον εἴη ἤγουν ἐμβαλεῖν ὑπὸ οἴνου. τοῖς δὲλοις δὲ ὑπωπῆ παροτρύνω, τῷ ἱερὸν ἀκτῖνα τῆς Δήμητρος δινεῖν, ἤγουν τῇ δίνησι τῆς βοῶν ἀλοᾶν ἐν χώρῳ διαπλῇ, τυτέστι καλῶς καταπατουμένῳ, ἵν' ὑπηνέμου ἔχῃ τὰς λικμήσεις, καὶ ἐν ἀλωοπρίῳ ἀξυχάλῳ, ἤγουν ὁμαλῷ. ἵνα καλῶς τε ἀλοᾶται ὁ καρπὸς, καὶ δικόλως ἀθροίζοιτο. τοῦτο δὲ ποιεῖ, ὑπιπίσας αὖ πρῶτον φανῇ τὸ δένδρον τὸ Ὠρίωνος, ἤγουν ὁ Ὠρίων ἀνατρεχτικῶς, τουτέστιν ὁπόταν ὑπτιάλλῃ ὁ Ὠρίων πρῶτον τῷ ἑῴᾳ αὐτῷ ὑπτιολύει· ὑπτέλλει δὲ ὕτος, μὴ τὰς Πλειάδας. ὀλίγων ἡμερῶν παρερχομένων, μέτρῳ, ἤγουν διὰ μέτρου μετρουμένης, καὶ πεσσομένους. μέτρῳ δίδωσί τις ἢ λαμβάνει σῖτον, ἢ τοιοῦτό τι· ἀριθμῷ δὲ καὶ καθμῷ νομίσματα, ἢ ἕτερόν τι τοιοῦτον. ἐπεὶ δὲ πάντα τὰ πρὸς βιοτὴν ὑπτιάσεια ἔνδον τοῦ οἴκου κατάθῃ, αὐτὶ τοῦ ἀποθάνῃ ἀμεσίως, κελεύει ποιεῖσθαι αὐτὶ τοῦ κτᾶσθαι, ὅπερ τὲ ἤγουν οἰκέτην μωσοπόν. ἄοικον, τουτέστι μήτε γυναῖκα, μήτε παῖδας ἔχοντα, ἵνα μὴ πρόφασίν δὲ τις ἔργοις. καὶ ἄτεκνον ἔειδεν.] ἤγουν γυναῖκα ἐραστικὴν δίζεσθαι, τουτέστι ζητεῖν· χαλεπὴ γὰρ ἔεδνα ὑποφορεῖν, αὐτὶ τοῦ τέκνα ἔχουσα. καὶ κύνα κομεῖν, ἤγουν ἐπιμελεῖσθαι· καρχαρόδοντα, τουτέστιν ὀξεῖς ἔχοντα τοὺς ὀδόντας, ὡς εἴη τῷ συσιχίαν αὐτῶν ὡς ἂν κεχαραγμένῳ, ὡς τὸν ὁρίονα. μὴ φείδεσθαι, ἤγουν ζῴης αὖτε, ἵνα μή σε φυλάττοντος αὐτοῦ, τὰ χρήματα ἀφέλῃ, αὐτὶ τοῦ τὸ πλεῖστον, τὴν οὐσίαν, ἀνὴρ ἡμέροκοιτος, ἤγουν κλέπτης, ὃς δὲ μὲ ἡμέραν ἀναπαύεται καὶ νυκτώπῃ, τῷ δὲ νύκτα ἀχεύπνει ὅτι τοῦ ὑφῆλας πρὸς χρήματα. χόρτον τὲ εἰς κόμισον καὶ συρφετὸν φυλλάδος καὶ ἀχύρου καὶ τὸ πιάτων, ἵνα σοι εἴη τοῖς βουσὶ καὶ πῖς ἡμιόνοις ἐπητανόν, αὐτὶ τοῦ εἰς τὸ ὀλιγακὶς ἐπρήματικῶς. ἔπειτα δὲ τοὺς δούλους ἀνάψυξον, ἤγουν ἀνάπαυσον καὶ τὰ φίλα

γόνατα,

γόνατα, ἵνα πάλιν ἀκμαιότερον ἐν τοῖς πόνοις ἐνεργάσωσι. καὶ τὰς βόας λύσον, ἤδη τοῦ ζυγοῦ ἀπάλλαξον καὶ τοῦ ἔργου.

ΠΡΟΚΛΟΥ.

Ἥμος δὲ Κολυμβος.] τοῦ θέρους ἀρχομένου, καὶ ὁ Κόλυμβος αὐθὶς ἄρχεται (ἔστι δὲ λαχανον ἄγριον ἀκανθῶδες.) καὶ ὁ τέττιξ ᾄδειν ἄδηται δὲ ὑπὸ ταῖς πτέρυξι πτίλων ἑαυτὸν καὶ τὸν ἦχον ἐπὶ στόμιον· ὅπως γὰρ αὐτὸν ᾄδειν φασὶ πλωτικαῖς τισι πόροις τοῦ μὲν αἱ αἶγες, μὴ τὸν ὑπογλωττισμὸν τοῦ εἰδῶσι, εἰς τὸ ἑαυτῶν ζῶμα διαπίνουσι τὴν ὕλην. ὁ δὲ οἶνος ἄκρατος, ὡς τότε ἥδιστος πεπωκόσιν, ὅτι πέφθηκε τὸ ὑλῶδες τῶν ἐν τῇ μεταβολῇ τοῦ ὥρᾳ ζοπὰς, καὶ χειμῶνος ἐπόντος πρατεῖς, ἤγουν ἔαρος, καὶ θέρους. Μαχλάτης δὲ γυναῖκες] ὡς ψυχρότερα τὸν κέρασιν καὶ διὰ τοῦτο βέλτιον ὀργῶσαι αἰσθανόμεναι. οἱ δὲ ἄνδρες, ἀφαυρότεροι διὰ τῆς ἔξωθεν θέρμης ἀναφαινόμενοι, φύσει θερμότεροι ὄντες καὶ ξηρότεροι τῶν γυναικῶν. τοιαῦτα δὲ καὶ τὸν Ἀλκαῖον φάσκειν· Τέγγε πιδύοντας οἶνῳ τὸ γὰρ ἄκρατον σκυτάλην. Λάδι ὥρᾳ χρῆσθαι, ἔχει δ' ἐν πιτάλοις * τάδε αὖ τέτριξ. αὐθὶς δὲ καὶ Κόλυμβος. νῦν δὲ μαινόμεναι γυναῖκες. Λεπτοὶ δέ τοι ἄνδρες. ἐπεὶ κεφαλὴν καὶ γόνατα ζείοντος ἄζῃ.

Αὐλητὴς δέ τε χειμῶνος.] ἕως τοῦ [σβεννυμένων.] λέγει μὲν αὖ ζείοντος καὶ αὐτὸν τὸν ἥλιον, ὡς καὶ ἐμπροσθεν. λέγων δ' ἂν καὶ τὸν ὅτι τοῦ κλίνοντος μεσούσης ἥλιος. καὶ δὲ ἔστι τότε τοῦ ἡλίου μεσουρανοῦντος ἐξέα σπερμάτα, καὶ κυάμων αἴτιος ὅτι τοῦ ὑπὸ κοιλίαν καθημένου εἰκότως ἂν αὐλητὴς ὁ χορὸς γίνεται ταῖς τούτων ἐμπύροις δυνάμεσιν αὐαινόμενος. τίνα οὖν ἄκη τοῦ κάματος περαίνει; τοιαῦτα δὲ ὑπὸ ταῖς πέτρῃσιν οἱ τοῖς ἀπηλαίοις· αὕτη δὲ οὐκ ἁπλῶς παραμυθεῖται ὅτι τοῦ ἀνάσσοντος· ἀλλὰ καὶ δίψης ὑπὸ τῆς τοῦ πυρὸς φύσεως. καὶ οἷον Βύβλινον ὃν ἀξιοῖ φαρ' αὐτοῖς μαργείας φασὶ πταμὸν εἶναι καλούμενον. ὅπερ ἔστιν ὁ οἶνος ὡς ὁ Θάσιος δηλοῦμεν, λέγει καὶ Εὐριπίδης. μέζα δὲ ἀμολγαίη, ἤγουν ἡ πυκνή, ὡς καὶ νυκτὸς ἀμολγὸν εἶπεν Ὅμηρος, τὸ ἐκεῖ πυκνὸν διὰ τὸ σκότος. ἢ τὴν μεταγενεστέραν ὥραν τῆς ἀμόλγης· κωλύει δὲ ὅταν τὸ ἀγγεῖον εἰς ὃ τὸ γάλα ἀμέλγηται. τὸ δὲ γάλα τῆς αἰγὸς, ἥδιον σβεννυμένων ἔχει τὸ διαφέρον, ὡς μήτε ὑγιῶδες, μήτε πυρματῶδες, ἀλλὰ μάλιστα πεπεμμένον, εἰς ὑπὸ νομῆς στερεοτέρας συσσὰν, καὶ μετρίαν ἔχων δύναμιν. βύβλινον δὲ οἶνος, ἤγουν ὑπὸ ἀμπέλου τὸν καλυμένης, ὡς καὶ Περγάμιος, ἡ πόλις Θρᾳκική. Μᾶζαν δ' ἀμολγαίη.] ἄρτος μὲν γάλακτος ἐπιθρυμμένος ἢ πυρός. ἄλλως. ἀμολγαίη., αὐτὴ τῆς κρατίστης, ἀκμαίας. τὸ γὰρ ἀμολγὸν ὅπου τὸ ἀκμαιότατον Εὐριπίδης ἐν Παιονικαῖς. Καφισοδώρου δὲ, τὸν πυρὸν φησὶν, ἢ ἀνύδρου βεβρεγμένου γάλακτι. μάζα οὖν ἀμολγαίη, ἢ πυρὸς, ἢ ἄρτος ἐν γάλακτος ἐζυμωμένος. σβεννυμένων.] παυομένων τῆς θαλάσσης, καὶ δηλοῖ τοῦτο τὸ γάλα ψυχρὸν ἐχόντων. τῷ γὰρ καίριον τὸ θέρος, ὑπὲρ θρομβώδης ὄζει τι γάλα, ἀλλ' ὑδατώδες, ἢ καὶ τρυφερὸν ἀμιγνύμενον.

Τεῖς ὕδατος.] ἐν Διδύμοις διὰ τὸ θέρος καὶ διὰ τὸ καταψύχειν, τέσσαρα πίνειν ὕδατος καὶ ἐν οἴνῳ ἢ ἐν τῷ ἐκπώματι τρεῖς ἐμβάλλειν ὕδατος κεράσας, μίαν δὲ οἴνου. ἢ τὸ πολλάκις ὕδατος, μίαν δὲ οἴνου. Καὶ βοὸς ὑλοφάγοιο.] ἕως τοῦ τὸ δὲ τέταρτον ἱέμεν οἴνου, ἐργάτῃ μὲν ἡ ζωὴ προέκτηνται πλήρεις βοείων χρεῶν τοῦ γαστρὸς, καὶ ἐν σκιᾷ δὲ καθήμενον καὶ ὑπὸ τοῦ ζεφύρου καταπνεόμενον, πίνειν ὅτι τῇ χρωφαγίᾳ, μίξαντα κρητῆρα ὕδατος τοῦ οἴνου, τρία μέρη τοῦ ἑνός. ἡ γὰρ διαίρεσιν ἀνθρώποις χάριν δίδωσι, ἀλλ' ὑπὸ πόνων τε γλιοῦ, καὶ αὐτουργοῖς καὶ βιωτικοῖς· τοῖς γὰρ τοιούτοις ὑδὲν φορτικώτερον τοῦ ἰσχνοῦς καὶ δυσφθάρτου τούτου ζωῆς, ἤγουν δυομένης, ἢ ῥιπιδίου, ἀλλὰ φυσικῆς ἀνοίας. οἷον ὁ ἀκεραὴς ζέφυρος, καθαρὸς ὢν ζέφυρος· τὰ γὰρ βόρεια λήγοντα συνάπτει τοῖς δυτικοῖς πνεύμασι. τὸ δὲ ταύτῃ ἐπανέσαι τοῦ κεράσαι τοῦ οἴνου καὶ τοῦ ὕδατος, ἄκρατον ἔοικεν δοκεῖ. λέγει γὰρ ἢ τρία πίνειν, ἢ πέντε, ἢ μὴ τέσσαρα. τὸ δὲ τρία μιγνύναι φησὶν, τοῦτον ἔοικεν δοκεῖ· ἀλλ' ἐκεῖναι μὲν αἱ κεράσεις, δύο φησὶν ἐν, καὶ τριῶν φησὶν δύο, καὶ λόγους διπλάσιον, καὶ ἡμιόλιον· τὰς ἡμέρας τοῦ πολλαπλασίων καὶ ὀκτωεσίων εἰς μέθην εἰσὶ πινόντων· αὕτη δὲ σωφρόνως πινόντων. καὶ μὴν καὶ θεὶ ὕδατος ἄλλοι μὲν χειμῶνι εἰς σωθμὸν ἀπελθόντες ἐπλεονοιστὸ κυφότερον. καὶ τινες καὶ ὑδροσάτας κατασκευάζουσι, δι' ὧν τὸ βαρὺ καὶ κῦφον ὕδωρ κεῖσται· καίτοι πολλαχοῦ κῦφον μὲν ὄζει, πυνθάνεται δὲ, ὡς ἐν Χαλκίδι Πλούταρχος ἱστορεῖ τὸ τῆς Ἀρεθούσης. οἱ δὲ, καὶ τὸ ῥᾳδίως οἶνῳ κεραννύμενον

δοκιμάζειν ὕδωρ ἄρίστον, πολλῆς δλόμενον πείρας καὶ διαφόρων οἴνων, εἰς τὸ μὴ φορτθῆναι τοιοῦτον ὄν. ἄλλοι δ' εἰς κεφάλαιον ποτήριον ὕδωρ ἐμβαλόντες ἐῶσι δι' ὅλης μείναι νυκτός· εἶτα γλυκέως ἡμέρας ὀφῶσιν εἰ πνα ἐστὶ τῆς κύλικος ἔχει γαιώδη διαφέρειαν συσχοῦσα καὶ μελανίζουσαν· καὶ τοῦτο σημεῖον τίθεται τῆς τοῦ ὕδατος φαυλότητος, ὑδ' ὅτι πῶμον ἁδαμὲς δόντες διέτρεσον. πάντων δὴ οὖν τὴν τοιοῦτον ἁπλούστερον ὁ Ἡσίοδος κελεύει τῷ χωρητῷ μεγάλῳ τῷ οἴνῳ ὕδωρ ἐπιχρίειν ὑποῤῥύτου, ἵν' ᾖ κινούμενον καὶ λεπτὸν καὶ ἀβίαστον, ἀλλὰ μὴ χαῦδες. ἄλλως. πῶς ζωὴν ἐχόντων ἡμῖν τῷ πεντῷ κεχρῆσθαι ἐν τῷ πίνειν ἀεθμῷ, πρῶτ' γνήσιος ἴση ἀριθμὴ μονάδος, ὁ Ἡσίοδος οὐ τῷ τρίτῳ, οὐδὲ τῷ πέμπτῳ, τῷ δ' τετάρτῳ ἐχρήσατο; διότι ὁ μὲν τρίτος εἰς τὸν δύο ἀριθμὸν καὶ τὴν μονάδα διαιρούμενος διπλασίονα λόγον ἀποτελεῖ, ὃς τῆς πρώτης ἁπλασίων ὄζει ἡμιόλιος. ὁ δὲ πέμπτος εἰς τὰ βίπτον διαιρούμενος καὶ τὸν ἥμισυν ἡμιόλιον ἀποτελεῖ. ὃς τῆς ὀκταμοιρίας ἡμιονοδίου. ἤτοι τῶν ἀριθμῶν ἐχόντων καὶ μέρος ἀπὸ ὅλων πρὸς τὸν κ'. ὡς οὖν ἡμιόσιον ἦν τῆς ἀεθμῆς τῷ μὲν τῆς πολλαπλασίων, τῷ δὲ τῆς ὀκταμοιρίας, τύπις μὲν οὐκ ἐχρήσατο. τῷ δὲ τετάρτῳ μᾶλλον, ὃς εἰς βία καὶ ἐν διαιρούμενος τετραπλάσιός ὄζει, μήτε τῆς πολλαπλασίων ἡμιονδίων, μήτε τῆς ἐκταμοιρίας. τοῖς ἄλλως ἦν οὐκ ἐχρήσατο ὡς ἡμιόσιν, οἷς οἱ πρὸς μέθην πίνοντες κεχρῆσθαι εἰώθασιν. ἄλλως. ὑλοφάγοιο.] ἀδαμάστου, ἀχλίας. ἐκ εἶπε δ' ἄρρενος, ἐπεὶ ἀπὸ ἐκείνου ὁ ἄῤῥενα ἀσθενέστερος ὄζει διὰ τὴν ἐπιθυμίαν τῆς ἕρωτος. ἀκρεμέος δ', τῶν ἄκρως φυομένων δένδρων καλῶν καὶ ἀμύγδαλος, ἢ ῥῆμα πένοντος. ἀποῤῥύτου τῆς ῥεούσης καὶ μὴ ἐχούσης ἀκαθαρσίαν· δόλος δὲ ἡ ἀκαθαρσία. Δμωσὶ δ' ἐπιζύγιον.] ταῦτα πρὸς τῆς τὸν ἀμπέλου εἰς τὴν ἄλωα τῆς ἡρῶν καταθέσεως· τὸ δὲ διπέμπελα, ὅτι τὸ πρεικτικοῦντας καὶ πρεκλαίοντας τὰς βόας ἐν αὐτῇ τὰ θέρη τρίβοντας ἁλοᾶν, ταῦτα δὲ κελεύει τοῖς δμωσὶ φράζειν ἐν τῷ τόπῳ τῆς ἀγρᾶς τὴν ἄλωα κατασκαμένους δύο ἔχοντα, τὸ, τε ἰυγὲς, ὃ ὄζει ἔυπνουν, καὶ τὸ εὐρύχαλον, ὃ ὄζει ὁμαλόν· αὖτε δὲ ἀνόμαλος ἢ πρὸς τὸ ἀθροίζεσθαι τὸν ἁλώμενον καρπὸν ἐμπόδιον, αὖτε μὴ ἔυπνουν, ἐκ ἂν ἔχοι τὴν ὑπὸ τῆς παρέχοντος ζύλληψιν πρὸς τὸν σκεδασμὸν τῆς ἀχύρων. μὴ δὲ τὸ ἁλοητὴν μὲν ἐᾶν, καὶ εἰς ἀγρᾶς τὸν καρπὸν ἐμβάλλειν ὑποδησαμένους τὰς εἰς τὸ ἔτος· τὸν δὲ καιρὸν εἶναι τοῦτον μὴ τὰς Ὠρίωνος ἐπιτολὰς, καὶ τὸ ἁλοᾶν καὶ τὸ μετρεῖν, καὶ τὸ ὑποδησαμένους εἶναι, τὸν καιρὸν ἐπιμένοντας καρπόν.

αὐτὰρ ἐπὴν Πάντα βίον.] ταῦτα καὶ τὰ ἐπόμενα, ὅτι μὴ ἀναγκαῖον εἰς κτῆσιν ἐμψύχων ὀργάνων διδάσκει, τὸ ὄπιθεν, τὸ εἰθύς, τὸ παῦρος, ἐπάσας τὸ χρήσιμον λέγοντος· τοῦ μὲν, τὸ μὴ ἔχειν οἶκον ἴδιον, ἵνα στὶ προστέχῃ τὸν νοῦν τῆς ᾖ, τὸ μὴ ἀπορεῖν ἔτι παῖδα μὴ ἔχοντα, ἵνα μὴ ἀχρεῖται ὅτι τινὶ πόρτιν. τοῦ δὲ, τὸ ἀμωπικὸν, ἵνα μὴ δι' ἀθύμιαν μάτην βίηται, ὃ ὄπεστικὸν οὖν, οὐδὲ μελετᾶν θρέψει καλὰ γεωργός, ἀλλὰ τὸν τὸ δάκνειν ἕτοιμον, καὶ τὸν ἡμερόκοιτον ἀνθρωπον φοβεῖν, ὃς διαπαντὸς ἀποδλέπει, ὐκ εἰς τὸ ζῶμα, ἀλλ' εἰς τὸ τὰ τ' ἄλλων συλᾶν. Θὺτ' ἄοικον.] μήπω ἔχοντα γυναῖκα μήτε παῖδα, ἵνα μὴ σφετερίσηται ἐν τῷ ἀχῷ. ἡμερόκοιτον.] ὁ ἀνὴρ ὁ κλέπτης, ὁ τινὶ ἡμέραν μὲν ὑπνῶν, τινὶ δὲ νύκτα ἀγρυπνῶν. Χόρτον τ' ἐσκομίσαι.] ταῦτα μὲν τινὶ συγκομιδὴ ἀναγκαία τῶν χειμῶνος, χάειν τῆς βοῶν καὶ ἡμιόνων ἀθροῖσαι ζοφιὰ, ὡς τινὶ τῆς ἀνθρώπων. χειμὴς γὰρ ὄντος, ἄλλως τε καὶ σφοδρᾶς, τρέφειν ἀπὸ τῆς χώρας ὐκ ἔστι τὰ ἑρέμματα. χρήσιμον οὖν καὶ χόρτον ὑποτιθεῖσι, καὶ συρφετόν τινα φυλάσσοντας καὶ ἀχύρων, καὶ τῆς τοιούτων. χρήσιμον δὲ καὶ ἐν τῷ καιρῷ τούτῳ, καθ' ὃν ἐδλέπει ὅτι πονεῖν, ἀναπαύειν τὰς βόας, ἵνα πάλιν ἀκμαιότεροι τοῖς πόνοις ὑποστῶσιν, ἐχ ὡς ἔνιοι τύχωσιν αὐτὰς ἄλλοις πόνοις ἐ γεωργικοῖς, οὐδιδόντες εἰς οἰκοδομὰς καὶ μυρμήκων ἕλξεις, καὶ τὰ τοιαῦτα τῆς ἔργων, ἅπερ καὶ σὺ ποιεῖν.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Ἡμέρα δ' Σκόλυμος.] ἡνίκα δ' ὁ ἀκανθὸς τὸν ὄνον ἀνθεῖ, ὁ καὶ Σκόλυμος λεγόμενος, καὶ ὁ ἠχεπκὸς τέτιξ ἐν δένδρῳ καθήμενος ᾄδει πυκνὸν διὰ τῆς πτερύγων. ὅτε δὲ ᾄδει, τρίβων ἑαυτὸν ἐν τῷ καιρῷ τῶν κοπτῶν θέρους, καὶ ἐπάνω· τότε αἱ ἅγιαι εἰσὶ λιπῶσαι, ὡς ἡδὺ φαυδεῖσαι τῶν θηλάζειν τὰς ἐείκας, καὶ μαλακεῖν, καὶ ὡς στερεωτέρας ζοφὰς ἐδίκασι· καὶ ὁ οἶν[ος] τότε ἄκρος

αἴσιος· καὶ δεδοκιμασμένος, ὡς ὁ θλαφθαρήσεται ἔτι, καὶ ὀξίνας χοήσεται, φθινόπωρον παρελθών, καὶ χιόνα καὶ ἦαρ, καὶ ἤδη θέρεϊ ἀφάμενος, καὶ μὴ βαπτὸς. αἱ δὲ γυναῖκες τότε λαγνέστεραι μᾶλλον, καὶ κατωφερέστεραι πρὸς συμφύσιας καὶ ἀφροδίσια ὑγρότεραι· δὲ φυὴ κῶς ἔσαι, καὶ ψυχρότερος τὴν ἀνθρώπων, τότε τῷ ἡλιακῷ θερμῷ καταστήματι διακρατύμενος πρὸς ὀξυμαθεῖσι ἐὰν· ἀπὸ τὸ σφετέρου τῆς ὑγρότητος, εὐφορεκτότεραι πρὸς τὰς συνουσίας, καὶ φυκρατέστεραι γίγονται. ἀδυνάτεροι δὲ αἱ ἄνδρες· ξηρότεροι γὰρ ὄντες φύσει τὴν γυναικῶν, καὶ πλέον ξηραινόμενοι πό τε ἀδυνῶσιν. ἐν δὲ τῷ χιμῶνι πλέον ἐργῶσι τὴν γυναικῶν, ξηρότεροι ὄντες, τῇ χιμερίῳ ὑγρότητι εὐκρατεῖ. τὸ δὲ ἦαρ εὐδρόσου ἰσομοιρίαν ἀφροδισίων παρέχει, πλὴ ἰσομοιρίαν δὲ ἔτω μοι νόει, δὲ καταπλασίαν ὀργᾷ τῶν ἀνδρὸς ἢ γυναῖκα. ἠχέτα.] ἠὐχῆτο· Βοιωτῶν καὶ Αἰολέων ὀῖν ἰδίωμά ἦτοι διάλεκτος.

Σείει.] νῶ καὶ ὁ ἥλιος νοεῖ, καὶ ὁ ἀπὸ τὸ ἡλίου τὸ κωμῳδούμενον. Σείει καλύμενος· τότε γὰρ καὶ ἔτος ἀνατέλλει ἑῴος. ἔπι πεδάσῃ τε σκιή.] σπλαισιόδης σκιή. θείρεται δὲ νῶ ἐπιφατικῶς καὶ ἐναντίως αἰτιᾷ χάριν ὁ Ἡσίοδος· ἄνεμος δὲ εἶπεν φεύγειν δὲ σκιὰς δύνας, νῶ αὐτὸν ἐν σπλαισιόδει δεκαπλασίᾳ καθῆσθαι σκιᾷ. Οὐκ εἰσὶ δὲ, φησιν, ἐναντία καὶ μαχόμενα, ἀλλὰ μᾶλλον ἀλλήλοις συμβάλλοντα. ὁ γὰρ ἀνωτέρω εἶπεν, ὅτι σοὶ ἀνάγκη ἐν τῷ ψυχρῷ τῆς ἡμέρας μέρει, δείπνῳ καὶ σκιᾷ χρᾶσθαι· τοῦτο πάλιν ἐπιφέρει καὶ φησίν, ὅτε ἡ χαυσαίδης ὥρα ἀνάγκης δείπνῳ· ὅτι δὲ χαυσαίδης δέτερον μόνον τὸ τῆς ἡμέρας κατάσημα, τότε εἰς τὰς σπλαισιόδεις καὶ πεδιάδεις ἀναστέρχε σκιάς, καὶ σῖτον βύβλινον πῖνε, ἀπὸ βυβλίας ἀμπέλου Θεσσαλίας. ἢ ἁλαφρὸν καὶ ὑδατώδη, κατ' ἐμέ, ἀπὸ τῆς Ἀσωπείων τὴν φερὶ τὴν Βίβλον καὶ Λίβαθον· ἐκεῖ γὰρ ὑδροποῦσι. τοῦτο γὰρ δηλοῖ ἐν τῷ ἐπάγειν, [τεῖς ὕδατος μέσχειν, τὸ δὲ τέταρτον ἴσμεν οἶνον.] τετάσθαι, τεταρτημόριον ἔχε μέρος τοῦ οἴνου, καὶ τρεῖς μοίρας ἐξ ὕδατος, ἵνα ὑδαρὴς ᾖ. ἐν χειμῶνι γὰρ δεῖ ἀκρατοτέρων εἶναι θερμοτέρων τὴν οἴνων ἀρύεσθαι. πλαίτε Σκιή.] πλατεῖα, δάκτυλος. τὸ γὰρ τέτραχυ ὀξὺ σκιᾶς, καὶ νῶ εἰς ἐκτείνει, ὡς καὶ παρ' Ὁμήρῳ·

Οὐδὲ Σκάμανδρος ἔλιπε τὸ ὃν μέρος, ἀλλ' ἔτι μᾶλλον.

Μᾶζα.] τὸ ἄπαλον, δὲ τὸ μὴ ἄζα πεῖ· ἡμῖν ἦ καθὼς φησὶ τὸ παξαμάτιον. Μᾶζα τ' ἀμολγαίη.] ὁ νεοφυὴς καὶ λεπτὸς καὶ τρυφερὸς ἄρτος· παρὰ τὸ μαζῶ, τὸ τρυφῶ· ἢ δὲ τὸ μάσσω, τὸ μαλάσσω. ἄρτος ἦ, ὁ μέγας καὶ ἄρτος. κἂν οἱ τῆς γραμματικῶν γυροπλόκοι, μαζα μᾶλλον καλῶσι τὸ ξηρὸν καὶ στερρὸν ἀρτίδιον. Μαζα τ' ἀμολγαίη.] ἄρτος γυναῖος ἀμολγεῖ καὶ πιμέλει ἁρμόδιος, ἢ γάλακτι πεφυρμένος. σβεννυμένοιο.] καυθησομένου τὸ θάλλειν.

Καὶ βοὸς ὑλοφάγοιο.] ὑσαχέτω σοι (φησὶ) τόδε καὶ τόδε, καὶ κρέας, ὡς τε τοῦτο ἐθίζει ὀρεσιτρόφου καὶ ἀγελαίας καὶ ἀδαμάστου βοὸς στέρας, ἢ ταυθένης καὶ ἄτοκος, καὶ ὠχωτογόνου εἴφους κρέας, καὶ χαίτων ὅτι τοῦ ἀεικοῦ καὶ καθύπερθε ῥυφῶ, πρὸς ζέσιν φυσίης αὔρας βάλλας τὸ πρόσωπον, καὶ τὰς δάλας καλάμου τὸν ἔτιον ἀλοᾶν. Πῶς ἦ, ὦ Ἡσίοδε, ὁ μικρῷ θελεχλιώδει ὀὸς ἀδηφὼς καὶ πέτεινος καὶ ἀγρεσάβολος, ἔξει τοιαύτας ζοφὰς, ἃς μάλις ἔζεσι καὶ οἱ τῆς μοίρας ὄντες τῆς χρείπονος; βοὸς ἀγελαίας καὶ ὀτόκου κρέας καὶ φωτοτόκων εἴφους; εἰ μὴ τυ αὔφνης ἀμπῇ τὰ τῆς Ἰὼς παρεύφωνα δρέμματα, ἢ αἱ τῆς Εὐρυβοίης ἀγέλαι θεσσιπηγύρτου, ἢ πᾶσα χελδὼν ἡ ὑσία. Τεταίχμιος τῆς Βαβυλωνίας τῆς Ἀρταβάζου ἰῆς, ὃς ἑκάστης ἡμέρας ἐκ τῆς ἀμφὶ χωείων φόρον ἐλάμβανεν ἀργυρίου Ἀρταβάλου, ἤτοι μεδίμνου, ἵππῳ δὲ τότε φορβάδες ἦσαν ἑξακισχίλιαι τε καὶ μύριαι, πῶλοι δὲ ἑκατοντάδες, πολὺ μέν τι τῆς πολεμιστηρίου· κωφὸς ἦ ἀνεφικοί, ὡς μόλις ὑπὸ φόρου πεταφῶν χωείων δωάδας τρέφειν. Τεῖς δ' ὕδατος μέσχειν.] μεσεπτίμιον φασὶ τοῦτο. Πρόκλος ἦ ἀριθμὸς φυσάτων ἀρτίους καὶ περιττούς, πεντάρτιος, καὶ ἑπτάρτιος, ἡμιόλιος, καὶ ἐπιτρίτους, καὶ ἐπιμοιρίους, καὶ πολλαπλασίους, καὶ πολλαπλασιεπιμοιρίους, καὶ τὰ λοιπά, ὅσους μὲν ἐγκαίρους λεγόμενα, καταφορεῖ μὲν τὴν νέων τὰς ἀκοὰς, πειρᾶται ἦ ἀπαιδεύτους ἐζητηκὼς· ὥσπερ αἱ ἐν τοῖς πίναξι ἀποδείξεις, καὶ παραγραφαὶ καὶ ζωγραφίαι τῶν λιθουργῶν καὶ τεκτόνων, τὰ ἄῤῥυθμά τε καὶ κακοσχήματα. ἴσμεν.] φάσμα, ἔμβυθος. ὅθεν δασωτέον τὸ ἴσμεν. καὶ φασὶ διαγνώσεως ἦ ὕδατος, ὁ σοφὸς Πρόκλος ἔξω τοῦ χωρὶς φιλοσοφεῖ. ἐνθὲν γὰρ ἐνταῦθα, φασὶ ὑδροσκοπικῶν

Ἡσίοδος

Ησίοδ. διελέγη. ἐν οἷς δέ π τοιοῦτον ἐμπέσοι, ἡ πεφυτεία ψευδεῖ, σοὶ δ' τὴν ἐξήγησιν ζωτέον, δείξομεν ἀκριβέστερον, ἵν' εἰδῆτε ὁποίους ὑδροσκοπικὰς βίβλους ἀναγινώσκομεν τοῦ παλαιοῦ, ὡς οὐδὲ δὴ κ ἑτέρας παιδείας, κἂν σπουδάζειν χρήσωμεν, σοὶς ὑμετέραν ὠφέλειαν. ἔξω δ' χωρεῖ σοι τῆς τοῦ ὕδατος διαγνώσεως ἂν π κ ἡμεῖς τοῖς Προκλείοις παραδώσομεν· ἄδειον ὕδωρ, ὃ ταχὺ θερμανθὲν ταχέως πάλιν ἐναποψύχει. Δημήτρου ἱερὸν ἀκτεῖ] τὸ ἱερὸν δῶρον τῆς Δήμητρος, ἤγουν τὸν σῖτον. Δήμητραν δ νυῶ φησιν, ἢ τὴν γῆν, ἢ τὴν Διονύσου Οἰσιέως γυναῖκα, ἢ τὴν φυτείαν κ γεωργίαν μ Διονύσου παραδομένην ἐδιδάξε. τὴν δ τῆς Κόρης κ Δήμητρος ἱστέον κατ' ἀρχὴν τῆς βίβλου κ μυθικῶς εἴπον, κ ἡν πγόρησα.

Ἐυτ' ἂν ὀπώρα φαιν. θέρους] ὁ σοφὸς Πρόκλος ἀεὶ μᾶλλ κ ὑδροσκοπικῶν, ἐν οἷς γὰρ ὁ δεῖ, τὰ χρειώδη κ ἐξηγήσεως χρήζοντα παραπέχει, ὡς νυῦ τὴν Ὠρίωνος ἀνατολήν. ἀλλ' ἡμεῖς οὐ μᾶλλον εἰδότες ἀστρονομίαν σοφοί, οὐ κ ὁ Πρόκλος, ἢ μᾶλλον ἢ Ὠρίωνος ἱστέον, ὅτι κυνηγὸς Βοιωτὸς ἦν, υἱὸς Γείωνος κ Εὐρυάλης ἢ Μίνωος θυγατρὸς ἢ Ἀρτέμιδος ἢ αὐτῆς ἑαυτοῦ, ζωρτὸν ἀναδύσης, ἢ ἀφανισθέντος μαθηματικωτέρως ἴσν δηλώσομεν, πλὴν σαφῶς τὴν τούτου ἐπτολήν, μὴ μακρολογήσαντες, καὶ ὅρα τῆς ἰσοθέσους δηλώσεως μακρηγορεῖν.

Δέκα παρεπιδύσῃ ἡμερῶν δρόμῳ,
Ἐξ Ὠρίωνος φάσιος πρὸς τὸν κύνα.
Οὕτως ἔφη μὲν ἡσαφῶς κ ζωτόμως.
Εἰ δ' αὖ θελήσει τις παρεκτείνειν πλέον,
Ἡλίου εἰσβὰς ταυρικὰς δρόμους τρέχῃ
Τέως ἂν ἑπτὰ δυσὶν ἡμερῶν πρέχῃ δρόμος,
Καὶ πρῶτα τοῦτον ἐπιφορήσας ἡμέρας
Τροπὰς ἁλώσιμον ἀρχῇ θεατρήσεις.
Αὐτῶν ζητῶν δὲ μὴ δὲ μὴ θεατρόπων,
Παραλλαγμὸς ἡμερῶν διαστάσεώς,
Ἐπτολιὰ δείκνυσι λαμπρὰν Ὠρίων.
Ἐντεῦθεν ἑξάκυκλος ἡμερῶν δρόμος.
Δυσὶν δ' ἁλῶναι τὸν περάτης ὀρνέων.
Ἐξ αὐτοῦ, κρυβεὶς δ' πρὸς κυνὸς φάσιν
Ὀλιγοστὰς αὐτὰς ἡμερῶν ἀφανίσει.
Καὶ τί πλατύνω τοὺς δρόμους τῆς ἀστέρων,
Εἰδὼς ἀκριβῶς ἀστρικὴν πᾶσαν θέσιν;
Σιγῶ τὸ λοιπόν, μὴ δολώσω συγγράφων.

Μίνῳ δ' ἴν κομίσαι] μοδιαίῳ δ κριθὰς ὑποκρίνων ἢ σῖτον ἐν τοῖς σοῖς κιβωτίοις. φυτεύσει, κἀμοῦ μαντεύσας ὀπώρας μοδίους ἐκφορήσας. ἀμπελίτιδι δή.] ἀναβιβάσει δ ὑποθησαυρίσῃς πᾶν σου χώριον, ὁ ζωτέον πρὸς τὸν βίον κ τὴν ζωήν, κτῆσαι κ μίδιον ἄμπελον, κ μισθίαν ἄτειρον· ἵν' δ μὴ ὑποκλέπῃ τι δῆ σῶν, ἐς τὸν ἴδιον οἶκον ὑποκομίζῃ, ἢ δ δεῖ τὸν παῖδα· τοῦτο δ σημαίνει τὸ ὑπόπτερος. βλέπει δ, ὑπὸ δῆ βοῶν δῆ ἐχνεσιν ὑπομᾶζον στέρτιν, ἤγουν δάκμαλον. καρχαρόδοντα.] ὀξυόδοντα, δηκτικόν, εἰς τὸ ὑποσκεῖν τοὺς ἡμεροκοίτους ἤγουν τοὺς κλέπτας. Χόρτον δ' ἐκμάσαι.] χόρτον τε κ ἄχυρον ὑπόθες, ἵνα τοῖς σοῖς ἁρμέμασιν ἢ δι' ὅλου τοῦ ἔτους ἀρκοῦσα ζωή. ὅσον δ μ τὸν διεστῶτες γεωργοὺς βόας κ τοὺς οἰκέτας ἀναπαύσεως τυχεῖν, κ μὴ καταπτυχῶσιν ἔτι αὐτούς, οἵτινές τινες δῆ βεβρωτόκων δαπανῶν ἔργοις ἑτέρως, ἵνα πάλιν ἔχῃς αὐτοὺς ὑπουργοῦντας σοι γλυκαίτερον.

Εὖτ' ἂν δ' Ὠρίων καὶ Σείριος εἰς μέσον ἔλθῃ
Οὐρανόν, Ἀρκτοῦρον δ' ἐσίδῃ ῥοδοδάκτυλος Ἠώς,
Ὦ Πέρση, τότε πάντας ἀποδρέπευ οἰκαδε βώτας.
Δείξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας.
Πέντε δὲ συσσείσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
Δῶρα Διωνύσου πολυγηθέος. αὐτὰρ ἐπὴν δὴ
Πληϊάδες θ' Ὑάδες τε, τό τε σθένος Ὠρίωνος
Δύωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
Ὡραίου. πλεόων δὲ χειμερίους ἀνέμους εἴη.

Quum vero Orion & Sirius in medium venerit
Cælum, Arcturum autem inspexerit rosea digitis Aurora,
O Perſa, tunc omnes decerpe domum vuas:
Expoſito vero ſoli decem dies, totidemque noctes.
Quinque autem adumbrato, ſexto in vaſa hauito
Dona lætitiæ datoris Bacchi. Sed poſtquam vtique
Pleiadeſque Hyadeſque ac robur Orionis
Occiderint, tunc deinde arationis memor eſto
Tempeſtiuæ. annus vero per tertam accommodus ſit

ΜΟΣΧΟΠΟΥΛΟΥ.

Εὖτ' αὖ δ' Ὠρίων.] ὀπωλικὰ δ' αὖ ὁ Ὡρίων καὶ ὁ Σείριος, ἤγουν ὁ ὅτι τῆς γῆς τοῦ κυκλοῦ (ἐγγὺς γὰρ ἀλλήλων ὁ Κύων καὶ ὁ Ὡρίων) εἰς μέσον ἔλθῃ τ' οὐρανοῦ, αὐτὶ τοῦ εἰς τὸ μέσον τοῦ οὐρανοῦ, τουτέστι μεσουρανίσῃ. τ' Ἀρκτοῦρον ἢ Ἅρμην ἡροδοδάκτυλος Ἠώς, ἤγουν ἡ λαμπρά, καὶ τερπνή. αὐτὶ τοῦ, ὁ Ἀρκτοῦρος ἢ ἐπιτέλλῃ τῷ ἑῴᾳ ἐπιτολῇ, τουτέστιν ὅταν ὁ ἥλιος ὅτι τὸν Ζυγὸν μεταβῇ. τότε γὰρ ἑῴα ἡ παρθένος αἴρεται, ἥτις ὅτι ὁ Ἀρκτοῦρος ὁμοταγὴς. μεσουρανεῖ ἢ ὁ Ὡρίων τῷ τετάρτῳ ζῳδίῳ. ἀπὸ ἡλίου πλησιάζων τοῖς Διδύμοις. ἀεὶ γὰρ ἓξ ζῴδια εἰσὶν ὑπὸ γῆν, καὶ ἓξ ὑπὲρ γῆν, μεσουρανεῖ δὲ τὸ τέταρτον ἀπὸ ἡλίου ζῴδιον, τότε (ὦ Πέρση) πάντας τοὺς βότρυς ἀποδρέπου, ἤγουν τέμνων, κομίζε εἰς τὸν οἶκόν σου. δείξων δὲ τῷ ἡλίῳ ὅτι δέκα τὰ ἡμέρας καὶ ὅτι δέκα νύκτας. ζωυπάγει δὲ καὶ τὰς νύκτας τῷ λόγῳ, ὡς ἐπομένας ταῖς ἡμέραις ἐξ ἀνάγκης. ἐγὼ δὲ δὴ καὶ κατ' αὐτὰς δύνατον τῷ ἡλίῳ δεικνύναι τοὺς βότρυς, οὐκ ὄντος ἡλίου. ὅτι πάντα δὲ ἡμέρας συσκίασον, ἤγουν ὑπὸ ζυκὰν θὲς, μὴ τὸ δεῖξαι αὐτοὺς τῷ ἡλίῳ. χῖ τινὶ ἕκτῳ δὲ ἡμέραν, εἰς τὰ ἀγγεῖα ἀφύσας, αὐτὶ τοῦ ἀποθλίψας ἄρυσαι τὰ δῶρα τοῦ Διονύσου τοῦ πολυγηθέος, ἤγουν τοῦ πολλῆς τέρψεως αἰτίου. αὐτῷ ἑπτῶν δή.] ἐπεὶ δὲ ἡ δὴ αἱ Πλειάδες τὸ καὶ αἱ Ὑάδες. καὶ τὸ δόρυ τοῦ Ὡρίωνος, ἤγουν ὁ Ὡρίων ἀφεφεσικῶς, δύωσι, τινὶ ὥραν δηλονότι δύσιν, τότ' ἔπειτα αὐτὶ τοῦ πάλιν ἀρότου μεμνημένος ἔσο ὠραίου, ἤγουν ἐγκαίρου. ὁ πλειὼν ἢ ἤγουν ὁ ἐνιαυτὸς, ἁμάδιος εἶη, αὐτὶ τοῦ ἔσω, χῖ χθονός, αὐτὶ τοῦ ὅτι τῆς γῆς ἔργων.

ΠΡΟΚΛΟΥ.

Εὖ τ' ἀν δ' Ὡρίων καὶ Σείριος.] σαφῶς ἐν τούτοις τὸν ὅτι τῆς γῆς τοῦ κυκλοῦ ἤτοι κυκλοῦς Σείριον λέγει, συντάξας αὐτὸν τῷ Ὡρίωνι· καὶ τούτων μεσουρανούντων, εἶπεν ἕως ὅτε τέλλειν τὸν ἀρκτοῦρον. ἐν τούτῳ δ' ἂν τῷ χειμῶνι, ὅς ὅστιν ἡλίου ζυγὸν μεταλθόντος καὶ τῆς παρθένου ἑῴας ἀνισχούσης, ἢ παραγατέλλει ὁ ἀρκτοῦρος, καλδίει τοὺς βότρυας τέμνειν· καὶ γὰρ ὁ σοφώτατος καλούμενος ἕως τότε γίνεται ἐκφανής. ἄλλως. ἔστος τὸν κυκλοτερῆ λέγει Σείριον. ἐγγὺς γὰρ ὅτι τῷ Ὡρίωνι. ἀεὶ δ' ἓξ ζῴδια ὑπὸ γῆν ὅτι, καὶ ἓξ ὑπὲρ γῆν. μεσουρανεῖ ἢ τὸ δ' ζῴδιον, ἀπὸ ἡλίου εἰς τὸ ἀνάπαλιν τῆς ζῳδίων μετρουμένων, διὰ τὸ ἐναντίον δρόμον πιεῖσθαι τὸν ἥλιον τῷ κόλῳ. ὅταν οὖν γῆμῃ ὁ ἥλιος ἐν τῷ Λέοντι, ἢ ἐν Παρθένῳ, διὰ τὸ τὸν Ὡρίωνα Ταύρῳ καὶ Διδύμοις πλησιάζειν, τότε ὀπωρίζειν τρυγᾶν. ὁ ἢ Ἀρκτοῦρος ὁμοταγὴς τῇ Παρθένῳ. ἔστι ἢ ὁ Σκορπίος ὁμοταγὴς τῷ Ὀφιούχῳ, ὁ καὶ δύο ζῳδίων κατέχων τόπον, ὅτι Φαέθων ἦ, τουτέστιν ὁ ἥλιος γῆμῃ ἐν Διδύμοις καὶ ἐν Καρκίνῳ (ἡ ἢ κεφαλὴ αὐτοῦ πρὸς τῷ Ταύρῳ κεῖται), ὁ ἢ πρὸς πρὸς τοῖς Διδύμοις) τότε ὀπωρίζειν ἀροτείαν. Δεῖξαι δ' ἠελίῳ.] τὰς βότρυς ἐκτεμόντες ἐτίθεσαν ὅπως τὸν ἥλιον, ἐξικμάζοντες αὐτῶν διὰ τ' ἡλιώσεως τὸ λεπτὸν καὶ ὑδαρὲς καὶ ἐυτρεπτον. καὶ σκάλων τοῦτο θειλοπεδύειν. μὴ ἢ τοῦτο ἐν τῇ σκιᾷ πάλιν διετίθεντο μηχανώμενοι πυκνωθῆναι τὸν καρπὸν μὴ τινὶ ἡλίωσιν, τινὶ ζέσιν ἐξιώμενοι τινὶ ἀπ' αὐτῆς διὰ τῆς σκιᾶς, καὶ τῆς ἐν αὐτῇ ψύξεως. καὶ τεῖον ὅτως ἐπάτων σκληρίζοντες τὸν οἶνον, ζωυσῶτα λοιπὸν καὶ ἔυπνον ἔχειν νομίζοντες. ὁ δὴ καὶ ὁ Ἡσίοδος ὑφηγεῖται διὰ τέτων, δέκα ἡμέρας λέγων ἁπλῶσαι τινὶ σαφυλὴν ἐν τῷ ἡλίῳ καὶ ἐν τῇ σκιᾷ, καὶ τότε πατῆσαι.

αὐτὰρ ἑπτὼ δή.] τῇ ἀρχῇ τὸ τέλος συνῆψε τῆς γεωργικῶν ἔργων, τῷ ἀρότρῳ τὸ ἄροτρον· καὶ γὰρ ἤρξατο ἐντεῦθεν ἀπὸ τῆς δύσεως τῆς Πλειάδων καὶ ἀρότρου, καὶ κατέληξεν εἰς αὐτά. διὸ καὶ ἐπῆγαγε διὰ πάντων διεξιών, ὅτι ὁ πλειὼν, ὅς ὅστιν ὁ ἐνιαυτὸς, τῆς ὅτι γῆς ἔργων ὅτως ἂν ἔχοι τέλος ἐναρμόνιον. πλειὼν ἢ ὁ ἐνιαυτὸς, ὡς τὰς ἡμέρας συμπληρώσας, καθ' ἃς τινὶ γεωργίαν δεῖλε. τὸ ἢ ἐντεῦθεν ὅτι ναυτιλίαν μέτεισιν, ὡς καὶ ταύτης δηωμένης βίον πείζειν. εἰ καὶ ἡ γεωργία ὠφελιμωτέρα χθονίοις ἡμῖν ὕει ζώοις. καὶ ἐν γῆς τρέφουσα τῆς γεννησαμένης ἡμᾶς ὀφείλει. διὸ καὶ τινὶ εἰσβολὴν τῆς ναυτιλίας οὐκ ὅτως ἐποιήσατο τοιούτῳ, ὡς τῆς γεωργίας, ἐρασὴς αὐτῆς ὑπάρχων. ἄρμενος εἶη.] ἐὰν ταῦτα ποιήσῃς, ὁ ἐνιαυτὸς (φησὶν) ὅλος ἁρμόδιος ἔσται. πλειὼν ἢ ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ πάντα πεπληρῶσθαι, ἢ ἀπὸ τῆς Πλειάδων. ἐξ αὐτῶν γὰρ οἱ χασμοὶ τοῦ ποτὲ δεῖ καὶ ἀνοίγεσι καὶ θερίσαι.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

Εὖτ' ἂν δ' Ὡρίων καὶ Σείριος.] ἡνίκα ἢ ὁ

Imbre hiemali exundans. ita enim ipsum Apollo
Latonæ filius iussit, propterea quod inclytas hecatombas
Quicunque portaret Delphos, eum vi spoliabat insidiatus.

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ.

Οὗτος δέ (φησι) τὸν Ἀλκμήνης Ἡρακλῆν, καὶ ὁ ἔνδοξος Ἰόλαος σκυλεύσαντες Κύκνον, ἄγουσι καὶ δύσαντες αὐτὸν τὰ καλὰ ὅπλα, ἐπορεύοντο. ταχέως ἢ ἀφίκοντο εἰς τὴν Τραχῖνα πόλιν, σὺν τοῖς ἵπποις τοῖς ταχέσιν. ἡ δὲ Ἀθηνᾶ ἀφίκετο εἰς τὸν μέγαν οὐρανὸν καὶ τὰ δώματα τοῦ Διὸς τοῦ πατρὸς αὐτοῦ. τὸν Κύκνον δὲ ἔθαπτεν ὁ Κήϋξ, καὶ ὁ λαὸς ὁ πολύς, οἵ πνες κατῴκουν τῆς πόλεως τῆς Τραχῖνος πλησίον, ὅπερ ἦν τοῦ ἐνδόξου βασιλέως Κήϋκος· ἄλλα δὲ καὶ οἱ τὴν Ἄνθην κατοικοῦντες, καὶ τὴν πόλιν τῶν Μυρμιδόνων, καὶ τὴν Ἰαωλκόν, καὶ τὴν Ἄρνην, καὶ τὴν Ἑλίκην. πολὺς δὲ λαὸς ἠγείρετο, τιμῶντες τὸν Κήϋκα, τὸν φίλον τῶν ἀθανάτων θεῶν. Τοῦτο δὲ τὸν τάφον ἀφανῆ ἐποίησεν ὁ Ἄναυρος ποταμός, πλησθεὶς χειμερίου ὄμβρου· οὕτω γὰρ ὁ Ἀπόλλων ἠθέλησε καὶ ἐμαντεύσατο, ὅτι δὴ ὁπηνίκα ἔκλεπτε βιαίως τὰς ἐνδόξους θυσίας καὶ τὰ ἀναθήματα, ὅπερ ἄν ἔφερέ τις εἰς Πυθώ, ἐν τῷ αὐτοῦ ὁλοκότῳ ἱερῷ.

ΙΩΑΝΝΟΥ ΤΖΕΤΖΟΥ.

αἰδὶς ποίησε] ἀντὶ τοῦ ἀφανὴς· ἵνα δηλῇ, ὅτι καὶ οἱ τάφοι ἀφανίζονται ὑπὸ τῶν ὑδάτων. τὼς γὰρ μιν Ἀπόλλων.] οὕτως γὰρ ἐβούλετο ὁ Ἀπόλλων, ἐπειδὴ τοὺς φέροντας τὰς θυσίας ἐσκύλευεν. Ἄναυρος, ποταμὸς Θεσσαλίας. καλοῦσι δὲ καὶ αὐαύρους τοὺς χειμάρρους.

ΔΑΝΙΗΛ

ΔΑΝΙΗΛ ὁ ΕΪΝΣΙΟΣ

τῷ τῦδε τῆς Σχολίοις; ἐπὶ εἰς τὸν ΤΖΕΤΖΗΝ

ἀναφερομένοις, Ι Θ

ἐν τυγχάνειν παραιτεμένῳ.

Ἀλλ' μὰς τούτων ἐκδοθέντα ἡμῖν μὴ τῶν τῦ Μοσχοπύλε τε καὶ Πλάνυδε εἰς τὰ τῦ Ἡσιόδε Ἔργα τε καὶ Ἡμέρας, καὶ τὰ μὴ τῶν Ἰωάννε τῦ Διακόνε σχολίων τε φιλοφρασιῶν, καὶ τῆς τεχνολογίας, εἰς τὸν Ἀσπίδα τῦ αὐτῦ, τὸν Τζέτζην τὸν Γραμματικὸν φανερῶς ὑπογεγραμμένα ἦν. Τὰ δὲ εἰς τὸν Θεογονίαν τὰ μὴ τῆς Διακόνε, ἀνώνυμα μὲν ἐν τῇ τῶν Ἐπῶν ἐκδόσει φέρεται· ἐν δὲ τῇ ἐν Βασιλείᾳ τυπωθείσῃ τὸν Τζέτζην τὸν αὐτὸν πάλιν ὑπογράφει. Οὐσῶν δὲ ἐγγράφως διαφορῶν οὐκ ὀλίγων, καὶ κατὰ πολὺ ἀλλήλων διαλαττουσῶν τῇ αὐτῇ, ἢ καὶ μᾶλλον, καὶ ταύτας ἀναλαβεῖν ἡμῖν ἔδοξεν· ἐκτὸς εἰ μὴ φανερά τινα λίαν σφάλματα τὰς κατηγορεῖν αὐτῆς ἔχοιμεν. Τῶν δὲ πάνυ ὠφελίμων τινῶν ἦν καὶ ἡ ἑτέρα, ἡ τῆς Ἐπέκτασιν δηλαδὴ, πλουσιεκτεῖν ἡμῖν τὸν λόγον δοκήσει, ὑδὲ τούτων ἀμελήσομεν, ἔστ' ἂν καὶ ἐκείνην διορθωσάμενοι, τῆς παρεκπεπτωκυίας τε καὶ μάλα ὀρθῶς ἐχόντων, τῆς μεταγραφικῆς μᾶλλον. τῶντε ἄλλων ἕνεκα, καὶ ὅτι ὁ σοφώτατος Βυλκάνιος, ἀντιγράφοις τισὶ τῆς παλαιοτάτοις ἐντυχών, πάντα σχεδὸν τὰ ταύτῃ λείποντα ἐκπληρώσας ἔφθασεν. Διὰ δὲ τὸ ὑπολαμβάνειν ἡμᾶς ταμπεῖόν τι χωμένους τῆς ἀναγκαιοτάτης, ἢ τῶ Τζέτζε μόνε, ἀλλὰ ἐγχέρειόν τε καὶ παλαιοτάτην εἰς αὐτὰ, ὅτου πως ὑπογράφειν, κάλλιστα καὶ ἀσφαλέστατα ἔχειν ᾠήθημεν, ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΗΣΙΟΔΟΥ ΘΕΟΓΟΝΙΑΝ ΠΑΛΑΙΑ. εὖγε παίσαντες, καὶ ὡς μάλιστα, ὡς καὶ ἄλλοις, ὅτου καὶ τούτοις, τῆς ἑτεροδοξίας τὸ ἐλεύθερον τῆς κρίσεως καταλείποντες· φιλεῖ γάρ πως ἐν τοῖς τῆς παιδείας ἅπτομένοις, καὶ τὸν Ἡσίοδον, ἢ μόνον τυγχάνειν ὄντα ἐρίδων γόνον, τῆς δὲ ἄλλῳ τἄλλα ἀρέσκειν. Τὰ πάντα δὲ ἢ δὴ ἂν αὐτὸς ἐπαινοῖμι αὐτῶν, μὰ Δία, ὑδ' ἂν τοῦς παλαιοτέρους, ἢ καὶ Τζέτζην, εἰ φάσκοιμι. Τοῦτο μὲν οὖν ὅπως ἂν ἔχῃ χαιρέτω τῆς ΤΖΕΤΖΗ δὲ, ὅτῳ φίλον, καὶ ταῦτα προσιέσθω. Ἔρρωσο, καὶ τούτων (ὁπωσδήποτε χρὴ εἰς ὑπογράφειν αὐτὰ) ἀνάμι-

ΗΣΙΟΔΟΥ

ΠΕΡΙ ΤΗΣ ΠΑΤΡΙΑΣ ΤΟΥ ΔΙΟΣ

ΘΕΟΓΟΝΙΑ.

Μοῦσαι Ἑλικωνιάδες ἀρχώμεθ' ἀείδειν,
Αἵθ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε·
Καί τε περὶ κρήνην ἰοειδέα πώεα ἁπαλοῖσιν
Ὀρχεῦνται, καὶ βωμὸν ἐριθενέος Κρονίωνος.
Καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο,
Ἢ Ἵππου κρήνης, ἢ Ὀλμειοῦ ζαθέοιο,
Ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο
Καλοὺς, ἱμερόεντας· ἐπερρώσαντο δὲ ποσσίν.
Ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῷ,
Ἐννύχιαι ἔστειχον, ὀπιπεύσκουσαι ἰοῦσαι,
Ὑμνεῦσαι Δία τ' Αἰγιόχον, καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν,
Κούρην τ' Αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην,
Φοῖβόν τ' Ἀπόλλωνα, καὶ Ἄρτεμιν ἰοχέαιραν,
Ἠδὲ Ποσειδάωνα γαιήοχον, ἐνοσίχθονα,
Καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥβην τε χρυσοστέφανον, καλήν τε Διώνην,
Ἠῶ τ', Ἠέλιόν τε μέγαν, λαμπράν τε Σελήνην,
Λητώ τ', Ἰαπετόν τε, ἰδὲ Κρόνον ἀγκυλομήτην,
Γαῖάν τ', Ὠκεανόν τε μέγαν, καὶ Νύκτα μέλαιναν·
Ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
Αἳ νύποθ' Ἡσίοδον καλὸν ἐδίδαξαν ἀοιδήν,
Ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὑπὸ ζαθέοιο.
Τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπαν,
Μοῦσαι Ὀλυμπιάδες κοῦραι Διὸς Αἰγιόχοιο·
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
Ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήσασθαι.

Mvsas Heliconiades incipiamus canere,
Quæ Heliconis habitant montem magnumque diuinumque,
Et circa fontem violam pedibus teneris
Saltant, aramque præpotentis Saturnij,
Atque ablutæ teneto corpore in Permesso,
Aut in Hippocrene, aut in Olmio sacro,
Summo in Helicone choreas duxerunt,
Pulchras, amabiles, fortiterque tripadiantum pedibus.
Inde concitatæ, velatæ aere multo
Nocturnæ incedebant, perpulchram vocem emittentes,
Celebrantes Iouemque ægida tenentem, & venerandâ Iunonẽ
Argiuam, aureis calceamentis incedentem:
Filiamque Ægiochi Iouis: cæruleos oculos habentẽ Minervã:
Augurumq; Apollinem, & Dianam sagittis gaudentem,
Atque Neptunum terram continentem, terræ motorem:
Et Themin venerandam, & nigris oculis Venerem,
Hebenque auream coronã decoratam, formosamque Dionem,
Auroramque solemque magnũ splendidamque Lunam,
Latonamque, Iapetumque, ac Saturnum vertipellem,
Terramque Oceanumq. vastum, & Noctem atram:
Aliorumq; immortalium sacrum genus semper existentium:
Quæ olim Hesiodum pulchrum docuerunt carmen,
Agnos pascentem Helicone sub diuino.
Hoc autem mẽ primum deæ sermone compellarunt,
Musæ Olympiades filiæ Iouis Ægiochi:
Pastores in agris pernoctantes, mala probra, ventres solum,
Scimus mendacia multa dicere veris similia;
Scimus etiam, quando volumus, vera loqui.

Ὡς ἔφασαν κοῦραι μεγάλου Διὸς ἐξ ἐτέτμοιο·
Καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον
Δρέψασαι θητόν· ἐνέπνευσαν δέ μοι αὐδὴν
Θείην, ὥστε κλύοιμι τά τ' ἐσσόμενα, πρό τ' ἐόντα·
Καί μ' ἐκέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
Σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδειν.
Ἀλλά τί μοι ταῦτα περὶ δρυὸν ἢ περὶ πέτρην,

Τὴν Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
Τ' μνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
Εἰρεῦσαι τά τ' ἐόντα, τά τ' ἐσόμενα, πρό τ' ἐόντα
Φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδή
Ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς
Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
Σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου,
Δώματά τ' ἀθανάτων. αἱ δ' ἄμβροτον ὄσσαν ἱεῖσαι
Θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ,
Ἐξ ἀρχῆς οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν,
Οἵτ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων·
Δεύτερον αὖτε Ζῆνα θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
Ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ, λήγουσί τ' ἀοιδῆς,
Ὅσσον φέρτατός ἐστι θεῶν κρατεῖ τε μάγιστος.
Αὖθις δ' αὖ ἀνθρώπων τε γένος κρατερῶν τε γιγάντων
Τ' μνεῦσαι τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
Τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα
Μνημοσύνη γουνοῖσιν Ἐλευθῆος μεδέουσα,
Λησμοσυνέων τε κακῶν, ἄμπαυμά τε μερμηράων.
Ἐννέα γάρ οἱ νύκτας ἐμισγέσθην πολύφρων Ζεὺς
Νόσφιν ἀπ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβαίνων·
Ἀλλ' ὅτε δὴ ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι
Μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,
Ἡ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ἦσιν ἀοιδὴ
Μέμβλεν ἐν στήθεσσι πανήλιον θυμὸν ἐχούσας,
Τυνδάρεον δ' ἀπάνευθε κορυφῆς νιφόεντος Ὀλύμπου

Sic dixerunt filiæ Iouis magni
verentes,
Et mihi sceptrum dederunt, Lauri
pertilum ramum,
Decerpere mirandum. inspiratũq;
mihi vocem
Diuinam, ita vt audiem tam futura quam præterita:
Et me iubebant celebrare beatorum genus sempiternorum. A
se vero primo & postremo semper decantare.
Sed quo mihi hæc circa quercum, aut circa petram?
Orsa, a Musis ordiamur, quæ
Ioui patri
Canendo oblectant magnum animum in Olympo,
Memorantes & præsentia, & futura, & præterita,
Voce concordantes. illarum vero
indefessa fluit vox
Ab ore suauis. ridet autem domus
Iouis valde tonantis, deorum voce a suaui
Dispersa: resonat vero vertex niuosi Olympi,
Domus immortalium. hæ vero
immortalem vocem emittentes
Deorum genus venerandum in
primis celebrant cantilena,
Ab exordio quos Tellus & Cœlum latum genuerunt,
Quique ex his prognati sunt dij
datores bonorum.
Secundo rursum Iouem, deorum
patrem atque etiam virorum,
Incipientesque canunt deæ, & finiunt carmen,
Quam sit præstantissimus deorũ,
& imperio maximus.
Porro & hominum genus, fortiumque gigantum
Celebrantes, oblectant Iouis
mentem in Olympo,
Musæ Olympiades, filiæ Iouis
ægidhabentis:
Quas in Pieria Sacrario peperit
patri mixta
Mnemosyne, fertilitati Eleutheris imperans:
Oblivionemque malorum, & solatium curarum.
Nouem enim ei noctes mixtus est prudens Iuppiter
Seorsim ab immortalibus sacrum
lectum conscendens.
Sed cum iam annus exactus, circumvoluta vero essent tempora
Mensium decrescentium, dies-
que multi transacti essent,
Ipsa peperit nouem filias concordes, quibus cantus
Cura est, in pectoribus securum animum habentibus,
Paululum a summo vertice nivosi Olympi

Ἔνθά σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά. — Ubi ipsis splendidique chori, & aedes pulchrae.
Πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν — Iuxta vero ipsas Gratiae & Cupido domos habitant,
Ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόμα ὄσσαν ἱεῖσαι — In conuiuijs: amabilem autem per os vocem emittentes
Μέλπονται πάντων τε νόμους, καὶ ἤθεα κεδνὰ — Canunt, omniumque leges, & mores venerandos
Ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι. — Immortalium celebrant, amabilem vocem emittentes.
Αἳ τότ' ἴσαν πρὸς Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ, — Istae tum ibant ad Olympum exultantes voce pulchra
Ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα — Immortali cantilena, vndiq. vero resonabat terra atra
Ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει, — Canentibus hymnos: iucundus vero a pedibus strepitus excitabatur
Νεισομένων πατέρ' εἰς ὅν· ὁ δ' οὐρανῷ ἐμβασιλεύει, — Euntium ad patrem suum: ille autem in caelo regnat,
Αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν, — Ipse habens tonitru atque ardens fulmen,
Κάρτει νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα — Vi superato patre Saturno: bene autem singula
Ἀθανάτοις διέταξεν ὁμῶς, καὶ ἐπέφραδε τιμάς. — Immortalibus disposuit simul, & induxit honores.
Ταῦτ' ἄρα Μοῦσαι ἄειδον, ὀλύμπια δώματ' ἔχουσαι, — Haec sane Musae canebant, caelestes domos tenentes,
Ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι, — Nouem filiae magno e Ioue prognatae:
Κλειώ τ', Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε, — Clioque Euterpeque, Thaliaque, Melpomeneque,
Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνιά τ', Οὐρανίη τε, — Terpsichoreque, Eratoque, Polymniaque Vraniaque,
Καλλιόπη θ'· ἡ δὲ προφερεστάτη ἐστὶν ἁπασέων. — Calliopeque: haec autem excellentissima est omnium.
Ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ. — Haec enim & reges venerandos comitatur.

τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ ΤΟΥ ΓΑΛΗΝΟΥ

ΤΟΥ ΗΣΙΟΔΟΥ ΘΕΟΓΟΝΙΑΝ

Ἀλληγορίαι.

Κεφαλὴν τὸν μῦθον, ἡ παροιμία φησί. [illegible]

[illegible]

τὴν φαλὸν καταθέλγητα μόνον, τὸ μὴ φαινόμενον, ἀλλ' ἤδη καὶ ὄν, ἀληθές. τοῦτον δὲ πάντως τὸ καταληπτικὸν εἶδος τῆς λόγου καὶ ἀλληγορικὸν, ἢ μέχρις ἀκοῆς θεραμένον, ἀλλ' ἔνδον καὶ εἰς ψυχὴν ἀφικνούμενον ποιεῖταί τε καὶ τὰ ἀληθῆ ἐφευρεῖν γνώσεως. αἰνῶ δὲ ἄρα καὶ Πλωτῖνον εἰπόντα, καὶν μὴ ὑγιῶς ἔτος ὅτι, φαρματτόμενον τοῖς νέοις τὰ μαθήματα θεραπεύειν, ἐπὶ τὸ συνεθισμὸν τ' ἀσωμάτου φύσεως. ἐπὶ δὲ καὶ Χαιρήμονα ἔωθεν αἰσχυνόμενος θεραπεύομενον, τὴν ἰσχνὴν καὶ ἀῤῥυθμόστομον καταπαύειν μανικὴν, τὸ ἐν ταῖς σφῶν ψυχαῖς ἐμπεσὸν πάντως ταραχῶδες, καὶ πρὸς τὴν χρείαν καὶ θειοτέραν ἐπιτήδειον καὶ αὐθρώδη ἐμβιβάζειν τὴν πλείστων πολλῶν ἢ τὴν παρ' Ἕλλησι βίβλων ἱερῶν, ἐν αἷς μύθοις καὶ περιπλοκίαις πρὸς ὄνησιν ἢ, καὶ ἀναπλάσματα, τ' Ἑλληνικῶς τὰ κακοδαιμονίας σεβάσματα, τὴν Ἡσιόδου Θεογονίαν ἡμεῖς μετακεκινήμεθα· πλήρης γάρ ὅτι τῆς τοιούτου περιπλοκῶν, καὶ τὴν ἐγκεκρυμμένην ἐν ταύτῃ ἀλήθειαν τοῖς βουλομένοις ἀνακαλύψομεν. πάντοι τῇ πλάνῃ κατηχόμενοι Ἕλληνες τὰ τῆς ψυχῆς μύσαντες αἰσθητήρια, τὴν ἑαυτῶν ἔσχατον ἐπορεύοντο· ἣν πᾶς δὴ βίβλον φυσιογνώμας οἶμαι καλεῖν δίον, ὅτι περὶ φυσικῶν τινῶν γνώσεων διαλαμβάνει, καθὼς ὁ λόγος περὶ ὧν διῃρθρώσεν, κἂν Θεογονίαν ἔτος ἀγεροῦχος ἐπιγράφῃ ταύτην αὐτομάτως. πρῶτον δὲ ἀξιητέον τὸ προοίμιον, καὶ τὴν ἐν τούτῳ μετατίθεσθαι ἀλήθειαν, ἣν ἡμῶν ἴσως ἀνακαλυπτόντων ταῦτα, ἀλλὰ καὶ αὐτῆς τῆς πηγῆς ἐνίοτε καὶ διὰ λέξεων τινῶν ταύτην ἡμῖν καταφαίνῃ ποιουμένης καὶ γνώμης.

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν.] ἁπλῶς ὅτι ὁ ποιητὴς, τὸν διχηγήσεον ταῖς Μούσαις τοῦτον ἀνατιθέμενος λόγον, ὑφ' ἓν ἂν αὐτὸν ἐσοφίσατο.

Ἄρνας ποιμαίνοντ' Ἑλικῶνος ὑπὸ ζαθέοιο,
δάφνης εἰδλέος αὐτῷ καλὸν ὄρος παρακοίτης
καὶ δδόντι. παιδὸς δὲ πάντως ἡμᾶς· πρῶτα μὲν, ὡς ἐκ καλαμείης δεῖ τῆς ἀμελητοῦσι καὶ τὸ θεῖον ἀφοσιώσεως μὴ ἀφίσασθ· ἔπειτα δὲ, ὡς πᾶσαν κακίαν ἀφ' ἑαυτῶν ἀπιτίθεσθ, καὶ τὰ τοῦ σώματος αἰδητήρια μύσαντας, νοερῶς ἅμα καὶ θεοτέρως ζῆν, ταῖς ψυχικαῖς ἐνεργείαις τὸ πᾶν ἀνατιθέντας· τοῦτο γάρ μοι δοκεῖ παραινεῖν ἡ τῆς ἀρνῶν φυλακῆς καὶ τῆς νομῆς, καὶ ἀπειρία, τὴν τ' αἰσθητικῆς ζωῆς ἀποστασίαν καὶ ἀπ' ἀξίαν πλεονεξίαν· ἀνθρώποις καὶ λύκοις, τοῖς κατὰ τὸν βίον ἡδέσιν ἀποταξάμενοι, καὶ σοὶς σκληραγωγίαν ἐγκλίναντες· αἱ γὰρ σφετεραὶ ἡδοναὶ καὶ λύπαι εἰσίν. ἡδοναὶ μὲν, ὅπ τῷ καλῷ ἔνεστι· λύπαι δὲ, ὅπ τοῖς φοβεροῖς ἢ δεινοῖς ἐπιγγχάνουσι. ἀλλὰ ταῦτα κατὰ λόγον φέροντες, τὰς γνώσεις ἢ ἕξεις ἐν ἑαυτοῖς ἐπιγινομένας ἔχουσιν. ὁ πίνων Ἡσίοδος πάσῃ μὲν ἀποταξάμενος φαντασίᾳ, πάσῃ δὲ χαίρειν εἰπὼν ἀνέσει τοῦ σώματος, καὶ σοῖς τοῖς ἀσυδαίοις ἐγκλίνας διαγωγὴν, καὶ σχολάσας, ἔφη πρὸς τὰς ἐπιστήμας αὐτῷ ἐγγενομένας καὶ σοφιζούσας αὐτὸν αἱ πνεῦ δὴ γνώσεις ἐν τοῖς ἡσυχίοις τόποις, καὶ πάσης ἀπολελυμένοις τύρβης βιωτικῆς διατρίβουσι· ἔτι δὲ καὶ τοῖς ὄρεσι καὶ ταῖς ὑλώδεσι σκοπιαῖς· εἰώθασι γὰρ οἱ σχολάζοντες ἐνίοτε καὶ ὑλώδεις φύσεις καὶ μετεώρων πάθη σκοπεῖν καὶ καταλαμβάνειν αὐτά, καὶ διὰ τοῦτο δάφνης ἐπογεύσας ἐνέπνευσεν τοῖς μάντεσι παρεδίδοτο, ὡς τὸ τῆς μαντείων ἀπάρχεσθ. χαρέσσεσθαι δαφνῆς τινος διαγωγῆς καὶ τερπνότητος τῆς περὶ τὸ σῶμα σκιρτημάτων, τοῖς πάντ' ἐῶντα, τὰ τ' ἐσόμενα, ὡς τ' ἐόντα καταλέγειν μέλλουσι χρεία ἔστιν. ἔτω δὲ ἡ τῆς ἕξεως ἀειθλεστάτη γνῶσις γένοιτ' ἄν, καὶ ἡ τὸ νοῦς ἀνάπλωσις, ἢ φαντασιωτικὴ χάρις τ' γνώσεως. ἐν Ἑλλησὶν ἦ κέχυνται χαρίεσσαι αἱ Μοῦσαι, καὶ ἐν τῷ βωμῷ τῷ Διὸς ἀρχηγέτου ποσὶ ἀπαλοῖς, ἔτι ἢ καὶ λευκῷ ἐκ κριοῦ ἵστασι, καὶ ἐν Ὑλικῇ, ὅτοτε αἱ γνώσεις καὶ ἀπομνημονικαὶ θεωρίαι, ἑλισσομένης τῆς ψυχῆς πρὸς ἑαυτὴν, καὶ τῷ πρὸς τὸ νοῦ συγκιρναμένης, ἢ ἑνουμένης, ὥσπερ ἐκ τινος χρήνης ἀναχεῖσθαι, διὰ τοῦ βλαστάνουσι, καὶ οἷον ἐπαύεσθαι, καὶ ἄλλυσθαι τὸ δ' ἀγαθαὶ μεῖον, πλατυσμὸν ἢ αὖ-ξησιν ἔτος, καὶ ἀσάλητες φαίη ὀργυιῶν ἢ ταῖς οἰκειοτέραις ἐνεργείαις καὶ φυσίσιν, ἄλλης ἐπ' ἄλλῃ συλλεγομένης εἰλικρινῶς θεωρίας· καὶ ἀμοιβαδὸν ἀλλήλας διαδεχομένας, τοιαῦτα γὰρ ἡ τῆς καθαρότητος τῶν τοὺς προέχουσας, ἥτις δὴ καὶ ἐμφέρεσθαι λέγεται ἄν. τὸ γὰρ ἐδύτερον τῆς τοιαύτης φύσεως γένοιτ' ἀνδιαλείπτοις ψυχαῖς καὶ αἰσθησόμεναι, καθ' ὃ ἐς ἀκρότατον Ἑλικῶνα χρόνων, ἀνατετυλιγμένας δηλαδὴ καὶ συμπεπλεγμένας τῷ ἀστὰς καταλαμβάνοντι καὶ ζωῇ τῷ μακαρίᾳ παρέχοντι τῷ· εἰ γὰρ ἔτω

κευφιδεῖσαι ψυχαὶ, καὶ πάσης ἀπολαγμένας σωματικῆς ἀχλύος λαθομιχίας τε καὶ ἀφροσύνης κινοῦνται, καὶ παντὸς εἰσὶ καταληπτικαὶ ὅπερ ἐθέλουσι, καὶ τῶν τ' ὄντων εἰδῆναι φύσιν ὑμῖν τὲ δι' ὧν ἐνεργοῦσιν ἐνεργειῶν τὸν πάντων πατέρα καὶ πολυτίμητον νοῦν, καὶ τοῖς αἰθυκτοῖς τούτοις ἐγκεκρυμμένην ἀλήθειαν ἀναπαλύπτουσι, τίς τε ἡ τοῦ ἀέρος φύσις διδάσκουσαι, καὶ τίς ἡ ὕδατος, καὶ ἁπλῶς τ' στοιχεῖων, καὶ τ' συνθέτων ἐκ τούτων σωμάτων, ζώων τὲ καὶ φυτῶν. ἔτι δὲ καὶ πῶς τόδε τὸ πᾶν συνέστη καὶ ἥρμοσται τίσιν ἁρμονίαις ἢ λόγοις, καὶ πῶς ὁ ἥλιος καὶ ἡ σελήνη ἡμέρας τὲ καὶ νυκτὸς δημιοῦσι, καὶ καιρῶν καὶ χρόνων, καὶ ζωόπους φυτῶν, ἢ ζώων ἡνύσαντο πυγχάνουσι. τίς τε ἡ διάθετο πρὸς τὸ πᾶν τάξις τινὶ καὶ συνέχουσα δύναμις, ὥσπερ τις κοσμήτωρ ἄριστος ἁρμονίης ἁρπηγός. πῶς δὲ τοῖς ζώοις ἔρωτές τε καὶ ἡδοναὶ ἄλογοι ἐγίνοντο, καὶ τίνες οἱ τῆς σπέρματος λόγοι, δι' ὧν ἠδάσκησε τὰ κυήματα. πῶς τὲ κινεῖ ὁ καθήμενος τῆς ἐν τῇ πλανῇ τὸ πάντων κινητικὸν αἴτιον. εἰς ἀνεκφατον ἐρωτόν. πῶς δὲ καὶ τὰ ἐρράνια κινεῖ καὶ φέρεται σώματα, καὶ διὰ τίνας ἄρα αἰτίας, καὶ τίς ἡ τοῦ χρόνου φύσις ταῦτά τε καὶ τὰ τοιαῦτα αἱ νοερώτεραι τῶν ψυχῶν καὶ τὰς οἰκείας ἐνεργείας μὴ συγχύσασαι ταῖς περὶ τὸ σῶμα ὑλώσεσιν ἐξετάζουσί τε καὶ ἡμᾶς ἐκδιδάσκουσιν, ἀπαθανατισθεῖσαι καὶ τῆς κρείττονος ἀξιωθεῖσαι μοίρας καὶ τοῦ κρατίστου ἐκείνου δεσπότου ἔσαι τοῦ δευτέρου. ἃς δὴ καὶ ὡς παθημένας καὶ ζητουμένας παρ' ἡμῶν Μύσας ὁ λόγος προσαγορεύῃ ἐθέλει· φύσει γὰρ ἡ ἐκδητικὴ ὄρεξις τοῖς ἀνθρώποις ἐγκατέσπαρται, καὶ διὰ τὴν Ἑστίας δοκεῖ, ἀρχομένῳ τῆς μὴ τὰ φυσικὰ πραγματείας. ἐννέα δ' εἰσὶν αἱ Μοῦσαι, ὡς τὸ πεζάγωνον καὶ ἔμπλεον τῆς τοιούτων γνώσεων, τοῦ ἀριθμοῦ τέτε ἡμφαίνοντος, καὶ τινὰ ἀκλινῆ καὶ ἀμετακίνητον τῆς ψυχῶν διωάμεων ἡμῖν παρισάνειν ἐθέλοντος· ἀπατηθεισῶν τάχα καὶ περὶ ἑαυτὰς σωίεσῶν, ὁπόταν καὶ ἐνιαίαν ἀνάκρασιν, ἅπαξ δὲ ψυχὴ περὶ ἑαυτὴν ἐληλυθεῖσα, καὶ προσφῶς ἑαυτὴν ἐποπτεύσασα κέκτηται θέλῃ περὶ πολυμερισμόν τινα διασκεδάννυσθαι, καὶ τοῦ συμπάντος τοῦ ἑνὸς ὑποχωρεῖν τε καὶ ἀφίστασθαι. τοῦτο γὰρ οἶμαι καὶ τὸ τῆς ἑστίας ὄνομα δεδῆσθαι ὑποσημαίνειν· οὐ γάρ ἐστιν ἕτερον τὴ ἑστίαν, ἀλλ' ἢ λόγον περὶ ἑαυτὸν ἀναστρεφόμενον τε καὶ συμπυκνούμενον, ὥσπερ ὑπὸ πυρὸς ὄρους καὶ πίστεως, τῆς μονάδος καὶ τοῦ πληθυντικοῦ σκιδασμοῦ, καὶ εἰς ἀφετείαν προϊόντος ὑπ' αὐτῆς εἰργόμενόν τε καὶ ἐπεχόμενον. ἔστι γὰρ ταῖς ψυχαῖς ῥοπή τις περὶ πλειυσμόν, ἵνα ἀκασπερά ζειν εἰώθεν ἡ τῆς περὶ ἑαυτὸ ἐπιστροφή τε καὶ ἕλιξις. ἐνταῦθ' δὲ πάντως κατίδοις καὶ τὰς νοερωτέρας ὑσίας συμπυκνουμένας, καὶ ἀπαειθμημένας ὑπὸ τῆς χλεινῆς καὶ θειοτέρου αὐθρώπου, καὶ χρὴ τὸ πεπάδος προκοσμῆν προϊύσας τὸ ἐν αὐταῖς πάντως καὶ πάντα ὑποσημαίνοντος τῆς ἀειθμοῦ πλειοπλόου. ἄθρει δὲ ὁ διαλαπώπατος καὶ ὑψηλόνους ἀφροατὴς καὶ τίνι τῆς ὀνόματος σύμπηξιν, ἢ ἀνάλιξιν. ὁ ἑννέα ἀειθμὸς, δύο ἔσ ὄζει, περὶ ἑαυτὰ συστρεφόμενα. τὸ μὲν γὰρ περῶτον ἔσ, τίνι ταῖς ψυχαῖς ἐνῆσαν ῥοπὴν περὶ πλειυσμὸν ὑποσημαίνειν ἔοικε· διὸ πεῦμα δεδέχθαι, τίνι τοιαύτην ἀμφαίνον ὁρμήν. ἑ γάρ ἐστιν ἀκίνητος τέλειον καὶ μὴ τίνι πρώτην ὑσίαν ποιεῖ καὶ θεῖαν ὑσίαν περὶ σκιδασμόν τινα καὶ διάστασιν ἢ πολυμέριαν, ἧς τινι πρὸς περὶ ἡμῶν περιλοσόφων καλλιστά τε καὶ ὑψηλότατα. τὸ δὲ δύτερον ἔσ, ὃ καὶ ἀντιστρόφως ἀκαμινώσκων τε, τίνι περὶ ἑαυτίνι ὑποσημαίνει τῆς ψυχῆς στροφίν· πάσχει δὲ τοῦτο ἡ ψυχὴ τῇ μονοδικῇ ἀμερείᾳ καὶ ἀσκιδάστῳ ἐπιχθεῖσα, καὶ περὶ ἑαυτίνι καταναγκασθεῖσα ἐπιστρέφεσθαι, ὥσπερ ὑπὸ τέρος ὄρους καὶ πίστεως. ὃ δὴ δι' τρον ἔσ, ὃ δὲ πεῦμα ἐπιδέχθαι, ὃ δὲ γὰρ ὄζει τῇ τοιαύτῃ στροφῇ περὶ τὰ τῆδε ὁρμή, ἢ φορά τις ἢ ὄρεξις. ἐπεὶ δὲ γραμματικοῖς προσδιαλεγόμεθα, καὶ ποιητὰς ἡμῖν τὰς ἀνὰ χεῖρας, ἑ κατόπιν ὁ λόγος ἀνατάσσει τῷ δέοντι, εἰ καὶ πορισόμεθα χρὴ τὰς γραμμίτρας ἐκ τῆς προσηχοῦς ἡμῖν διδιγμένων, καὶ διατί τὸ ἑ τῆς ἀειθμῶν διασιῶν, πλὴν τῆ ἑννέα, καὶ ἐνεσηκότα καὶ ἀπλῶς διατί τὸ μὲν ἓν διασιῶν, τὸ δὲ ἑννέα δύο ἔν ὄν, ὡς εἰρηῦ, ἑ διασιῶν. λεκτέον δ', ὅτι τὸ διασιὸν τὸ ἑ τῶν ἀριθμῶν, καὶ ἀπλῶς τὸ ἓν, παρισάνειν ἔχει ἡμῖν πλὴν ἐπ' ἄκρα ἀειδόδον τῆς ἀειθμοῦ· ὁρᾷ μὲν γὰρ σαφηνείᾳ φυσικὴν ἔχει τὸ ἓν, εἰς σκιδασμόν τε καὶ πλειυσμόν, λοῦ δὴ ῥοπὴν ὑποσημαίνειν ἐθέλει τοῦ πνεύματος ἡ διασυτης· ἀφ' ἧς δὲ ἡ τοιαύτη φορὰ ὑπὸ τοῦ ἑνὸς, καὶ προπηθύσα μέχρι τοῦ ἑννέα, ἐνταῦθα μέλλει συστέλλειν καὶ συμπυκνοῦσθαι

ἀπὸ οὗπερ ἀπὸ τοῦ τοῦ πάθους τῆς διαστρεφομένης φωνῆς, ὅπου τὸ βάρος, μᾶλλον δὲ πάντως τῷ συζυγίῳ τὸ πνεῦμα τὸ μέλον, καὶ ἡμῶν ἀποδιδόντων τραχύτερον, οὐκ ἀκριβῶς τὰ ὀνόματα διαπεφώνηκεν. πολλῶν δ' ὁμοίως τῷ παραπλησίως λέξις τῆς ἀπ' αὐτῶν σημαινομένης καὶ μιμήσεως αὐτά. καὶ μάρτυς τὸ λέγω, τὸ λιμὸς ὄνομα· δέον γὰρ διὰ διφθόγγου γράφεσθαι ὡς ἀπὸ τοῦ λοιμὸν καὶ τοῦ αἷμα γένους, ὅμως τῷ μὴ λιμοπόνων συνελεῖν καὶ τὸ πάθος ἐμιμήσατο. καὶ ἁπλοῦν ἔνδηλον τὸ ι. ὡς καὶ τὰ ἴδια ὀνόματα καὶ τὸ εἶδος μαρτυροῦσι. τὸ γὰρ ἰδέα, διὰ τὸ ἰχράφεσθαι, τῷ μὴ ἰδίων ἐκείνων ἀσημαίνον ἀπλότητα τῆς Πλατωνικῶν. τὸ γὰρ αὐτόν, καὶ ἡ αὐτοδυάς, ἀλλ' αὐτός, ἐν ἅπασιν. τὸ δὲ εἶδος ὅλη τῆς συνθέτων λεγόμενον τῆς ἐκ ψυχῆς τε καὶ σώματος μορφῆς, ἀλόγως καὶ σαίνεται ἐλλιχθὲν χαρίεν, ἀλλ', ὅπερ ἐλέγομεν, τῆς ἀπείρου καὶ τῆς ἀριθμῶν φύσεως ἢ τοῦ πράγματος ὅτι δασύτης διαστολὴ, διὰ τοῦ ἑνὸς ἀρχόμενον· ἐν γὰρ φαμὲν, εἶτα δύο. διὰ μὲν τοῦ ἑνὸς, τὸ ἑνίζειν τὰ πεπληθυσμένα καὶ στρέφουσαν φύσιν ἀποσημαίνοντες· ὡς δῆθεν αὐτῆς συμμετέχοντά πως· πᾶν γὰρ πλῆθος μετέχει πως τοῦ ἑνός· διὰ δὲ τοῦ δύο, τὸ εἰς πλῆθος διάστασιν, ἢ τὸ δίοδον τὸ εἰς τὰ πολλὰ αἰνιττόμενοι. ἐν τοῖς δυσὶν τάχα παρέχοντες τὸ ὄνομα, ὃ σημαίνει τὸ ὑπεισερχόμενον τὰ γὰρ δύο, πως μὲ πλῆθος ἀρχή ὄντι, πως ἡ πλῆθος καὶ πως πολλά, πως μὲ ἢ ὀλίγα· καὶ πως μὲν ἀριθμός, πως δὲ ἀρχὴ ἀριθμοῦ· ὡς μὲν γὰρ μετρητὸν, καὶ ἀριθμητὸν, ἀριθμός ὄντι καὶ πλῆθος· ὑπὸ γὰρ τοῦ ἑνὸς μετρεῖται· ἓν γὰρ καὶ ἕν, δύο. ὅσοις ὃ ἓν συγχρώμενα τοῖς δύο καὶ πολλοῖς λέγεται· ἐπεὶ καὶ ὀλίγα εἶπεν ἄν, ὅσοις τὰ τέσσαρα. ὃ διὰ ὅτι πολὺ, τοῦτο καὶ ὀλίγον λέγεται, ἀλλὰ ὅσοις ἄλλο καὶ ἄλλο πάντως. καὶ ὅτι παρ' ἑκάτερα τοῦ δύο συντιθεμένων ἅμα, τοῦ ἑνὸς καὶ τοῦ τρία ἡμισύς ὄντι ὁ δύο, καὶ χ' τοῦτο ἀριθμός ὄντι. πάλιν δὲ ὅτι τὰ δύο οὐκ εἰσὶ πολλά, οὐδὲ ἀριθμός, οὐδὲ πλῆθος, σκόπει ἐνταῦθα, μεταχειρισάμενος τὸ καθ' ὑπεροχὴν πολύ. διττὸν γὰρ τὸ πολύ, καὶ τὰ πολλά, καὶ τὸ ὀλίγον καὶ τὰ ὀλίγα. ἢ χ' σύγκεισον, ἢ καθ' ὑπεροχὴν πᾶς ἀριθμὸς ὑπερέχειν θέλει ἐν ἀριθμοῖς, πρὸς ἀριθμὸν ἐνεργείᾳ. ὁ δύο οὐχ ὑπερέχει· οὐ γάρ ὄντι ἀριθμὸς ἡ μονὰς, ἐνεργείᾳ, καὶ τοῦ δευτέρου χάριν συναγόμενον, συμπέρασμα νόει. εἰ δ' ἀριθμὸς οὐκ ἔστι, τί ἂν ἄλλο εἴη; ἢ ἀρχὴ ἀριθμοῦ· πᾶν γὰρ τὸ ἐν ἀριθμοῖς λεγόμενον, ἢ παθος ὄντι ἀριθμῶν, εἰς ἀριστότητός τι καὶ φευστότητος, ἢ ἀριθμὸς, ἢ ἀρχὴ ἀριθμοῦ. ἐπεὶ δὲ διδεγμένη τοῦ, ὅπου τὰ δύο ἀριθμὸς οὐκ ἔστι, συναπδείκνυσι καὶ ὅπου οὐδὲ πολλά, οὐδὲ πλῆθος· ὁ γὰρ ἀριθμὸς οὐδέν ὄντι ἄλλο, ἀλλ' ἢ πλῆθος τοῦ ἐν μετρητόν· τὸ δὲ ὑφ' ἑνὸς μετρητὸν πλῆθος, πολλά ὄντι.

εἶτα φαμὲν τρία, ἀπὸ τοῦ τρίς τά. τρὶς γὰρ μία, τρεῖς, τετελοιῶται τῷ μονάδι τετοσάκις εἰς ἑαυτήν. ἢ ἀπὸ τοῦ τρεῖν τὸ μοναδικὸν καὶ ἑνιαῖον, ἀκραιφνέστερον ἔτι καὶ εἰλικρινέστερον ὑπὲρ τὰ μετ' αὐτὸν ἀριθμὰ καταγομάζοντες τὸν τρία· ἄμωγες γὰρ ἔτι καὶ ἀθόλωτον τὸ ἓν ἔχει ὁ βία, ὃ δὴ καὶ ἀμφαίνει διὰ τοῦ ια, τριοῖας ἄν τις. τὸν δὲ τέσσαρα; ἢ ἐδηλωτῷ εἴ) τῷ λέξιν, καὶ διαλέκτῳ ἰδίᾳ τινι, ὡς τὸ παρ' Ἡσιόδῳ δηλοῖ ἐν ταῖς Ἡμέραις ἄρεσθαι [τέτορ' ἡμέων] ἀντὶ τοῦ τέσσαρες καὶ δέκατον χρόνον, ἢ παράγωγόν ἀπ. ἀπὸ τοῦ παράλλαττα παράξω, πεπάραχα πεπάραγμαι, πεπάραξαι, πεπάραχ). παραχὴν γάρ τινα καὶ σκαδασμὸν τὸν εἰς πολυμέρειαν ἐμφαίνει ὁ ἀριθμὸς ὅτος· ἐντεῦθεν γὰρ ὁ πληθυσμὸς καὶ ὁ μερισμὸς μᾶλλον ἐνεργάζεται). διὰ τοῦτο δή, οἶμαι, καὶ τὸν τέσσαρα σώματι ἀναλογεῖν ἔλεγον οἱ Πυθαγόρειοι συμβολικῶς, καὶ τετρακτὺν αὐτὸν ἐκάλουν παγκρατεῖ φύσεως, διὰ τὸν σκεδασμὸν τὸν εἰς πλῆθος, καὶ τὰς ἐναντιότητας, καὶ τὰ πάθη τῶν σωμάτων, ἃ τινα δὴ παραχαῖς ὁ λόγος καλῶν οὐκ ἀπεικότως λέγει. πέντε δὲ, ἢ ἀπὸ τοῦ ἐστίνω τὸ κατασκεδάζω παρωνόμασται, ἢ ἀπὸ τοῦ σπένω τὸ ἐνεργῶ· ἐνεργητικώτερος γὰρ καὶ κατασκεδαστικώτερος ἢ γονητικώτερος τῶν ἐντὸς τῆς δεκάδος ἀριθμῶν ἐστὸς ὅτι καὶ γὰρ τοῖς ἐφ' αὑτῷ συνερχομένοις τὰς μετ' αὐτὸν γονὰς πέντε. αὐτὸς γὰρ εἰς ἑαυτὸν συντεθέμενος, ἢ συμφόμενος τὸν δέκα ποιεῖ· πέντε γὰρ καὶ πέντε, δέκα. ἐπὶ δὲ τὸν τέσσαρα ποιεῖ τὸν ἐννέα· τέσσαρα γὰρ καὶ πέντε, ἐννέα. πρὸς ἢ τὸν τρία ὀκτιθέμενος, τὸν ὀκτὼ βία γὰρ καὶ πέντε ὀκτώ, πρὸς ἢ τὸν δύο, ἑπτά, πρὸς δὲ τὴν μονάδα καὶ τὸ ἕν, ἑξ. ἐξ ἢ εἶπε) ἀπὸ τοῦ ἑξείης πρὸς πλῆθος· τὸ γὰρ πλῆθος ἀρξάμενον ἀπὸ τοῦ βία ἐνταῦθα ἢ ὀκτὼ διπλώσας τὸ πληθυσμιαῖον διαιρεῖ) ἀριθμῷ. δύο γὰρ τρία,

γδ τρία, ὁ ἕξ ὅτι. διὰ τὴ μεσότητ πλείονας τῆς πρὸ αὐτοῦ ὑφέστηκεν ἀριθμῶν· ἔχει γδ ἕκτον τὴν μονάδα, τρίτον τὰ δύο, καὶ ἥμισυ τὰ τρία, καὶ ἁπλῶς πολυμερέστερός ὅτι τῆς πρὸ αὐτοῦ διπλασίων γδ διὰ τὰ ἕξ, διὰ δ' ὑπερτριμερείαν αὖθις αἰτίαν· ἑπτὰ δὲ, ἀπὸ τῆς ἑξαετηρίδος πλέον εἰς σκαληνισμόν· ἐγὼ δὲ εἴποιμι, ὅτι τὰ ἕπτα τοῖς λοιποῖς ἕξ, καὶ τὴν μονάδα τηροῦν. διὸ καὶ διασώζ. ὀκτὼ δὲ, ὅτι τῶν δικτύων τῆς ἴδ στερεὸς γάρ ὅτι καὶ κύβος· δὶς γδ δύο, τέτταρες, καὶ δὶς τέτταρες ὀκτώ. ἢ ὅτι ἡμιπλάσιος ἐστὶ πολυμερείας, ὑπὲρ τὰ πρὸ αὐτοῦ ἔχει γδ ἥμισυ, τὰ τέτταρα, τέταρτον, τὰ δύο, καὶ ἕβδομον τὴν μονάδα, τὰς ἀρτίας μεσότητας ὑποδεχόμενος. ὁ γδ ἕξ καὶ ἑπτὰν μεσότητα εἶχε τὸ τρίτον, ἤγουν τὰ δύο· ὅτου δὲ ἑβδόη τοιοῦτον ἔχει. ἐντεῦθεν δὲ εἴρηται, ὅπῃ τῶν τὸ ἐπιχωρητὸν ἴσον καὶ διὰ τῆς ἄλλων προελθόν, μέλλων ἐπὶ τῇ δικαίᾳ διαστρεφομένῃ ἴσῃ μονάδι, πάλιν ἐνιαυτὸς καὶ πρὸς ἑαυτὸ σχῆσαι καὶ ἀποκαμεῖν. ὅθεν καὶ φησίν, τὸν συσκιάζοντα τὸν πρὸς ἑαυτὸ, τῷ πνεύματι φιλῷ ἐμφαίνοντος. δικαίᾳ δὲ εἴρηται, διότι τῆς δύο ἐκείνης ἐστίν, δύο ἐκείνης πρώτης. μονὰς γάρ ἐστι δυτέρα, συμπήγνυσιν τὰ σκαληνοὺς μέλλοντα καὶ διχοτομεῖσθαι. ἀλλὰ δεῖ μὲν τούτων, ἱκανῶς ἡμῖν εἴρηται, ἔτι δὲ καὶ διὰ τί ἐντεῦθεν τὸν ἀριθμὸν αἱ Μοῦσαι λέγονται εἶναι, προφθάσαντες αὐτὰ ἀπαγορεύομεν, εἰ δοκεῖ δὲ, τὰ ὀνόματα αὐτῶν καταίδωμεν·

Κλεώ τε, Εὐτέρπη τε, Θαλειά τε, Μελπομένη τε,
Τερψιχόρη τε, Ἐρατώ τε, Πολύμνιά τ' Οὐρανίη τε,
Καλλιόπη θ' ἥ περ προφερεστάτη ἐστὶν ἁπασέων.

ὅτι μὲν Μοῦσαι τὰς ἐπιστημονικὰς γνώσεις ὁ λόγος προσαγορεύει, παντί φασι δῆλόν ἐστι. διαφόρων δὲ ὄντων τῶν τοιούτων γνώσεων, πῖον εἴληχεν ἑκάστη ὄνομα, μυστικὸν, τοῦτο ἡμῖν εἰς ἐξέτασιν προκείσθω. φαμὲν δὴ, ὅτι ἐντεῦθεν αἱ ἀπὸ τῶν μαθημάτων τῇ ψυχῇ ἐγγινόμεναι μέθοδοι γνώσεων. γραμματικὴ, ποιητικὴ, μουσικὴ, ῥητορικὴ, φυσικὴ φιλοσοφία, γεωμετρικὴ, ἀστρονομικὴ, ἀριθμητικὴ, καὶ μυστικὴ. ἡ γδ ἠθικὴ, καὶ ἡ θεολογικὴ, οἷς ἀπὸ τούτων ἐγγινόμεναι, συνιποφαίνουσιν αὐταῖς. ῥυθμίζει γάρ τις τὸ οἰκεῖον ἦθος τούτοις προσομιλοῦσα ταῖς ὅλαις πράξεσι τελεώτερον. ἀλλὰ μὴν τις καὶ διὰ τούτων προελθὼν, θεῖα δεύτερος φιλοσοφῆ λόγος ὕστερον. Πολύμνια γοῦν λέγοιτ' ἄν, ἡ γραμματική, οἷς πολλοὺς ὑμῶν καὶ διεξάγει. τοὺς γδ πολλοὺς, ὅτου τοὺς ἀγελαίους καὶ φύσει ἰδιωτικὸν βίον ζῶντας, πρὸς ἑαυτὴν ἀλλοιοῖ, ὑμνεῖ τε καὶ αὐτοὶ ἕκαστοι, καὶ τὴν ἀρχαιότητα ἐξαπαλαιουμένην ἀναθάλλει, καὶ τὸν διηνεκῆ βίον, καὶ τὴν αὐτοῦ ἀκρίβειαν καὶ ἀκριβείαν ἀποδύσασα (τοὺς γδ ὅτου ζῶντας, πολλοὺς εὐδαίμονας ὀνομάζειν) ὑμνοῖ, καὶ οἷον πλέγουσα καὶ λεπτύνουσα ἀφαγάζει πρὸς τοὺς ἰδίους μυθήσεις καὶ γνώσεις, παιδαγωγός τις οὖσα καὶ κοινὴ παιδεία, διαπαλαίουσα μὲν καὶ διαῤῥήγνυσα τὴν αὐθάδη γλῶτταν, καὶ ἐξαλλοιοῦσα τὸ ἀπολειπόμενον μακρὸν πᾶν βυρσοδέψεως καὶ ἄλογον· μορφοῦσα δ' εὐσταλῆ καὶ περιπατικὰ ἕξει πρὸς ἀφανεῖς, χοῦς δ' ἐξομοιοῦσα τοῖς ὀρθοχαφίαν καὶ ἐπιμελούμενα, καὶ ὑδάτων τε καὶ τούτου τάχα λεπτομέρειαν ἐστὶ τῆς ἀρετῆς· ἀδιαίρετα γάρ καὶ βάρβαρα καὶ ἄσυμα συναγελαζομένα μιαίνει, διαῤῥαῖ τε καὶ ἀσθενῆ ποιεῖ. Θάλεια δ' ἔτι αὖ, καὶ Εὐτέρπη, ὅτι μουσικὴ καὶ ἡ ποιητική, διὰ τὸ τοῖς μέτροις χρῆσθαι τοὺς παλαιοὺς ἐν ταῖς ὠδαῖς καὶ ταῖς διαχείσεσι· διὰ τὸ θέλειν τοὺς εὐνομουμένους καὶ πόλεων ἐν αἷς κολάζειν μὲν τὸ κακὸν, τιμᾶν δὲ τὸ καλόν. ὁποῖον τὸ χρήσιμον ἡ ποιητικὴ παρίζάνει ταῖς πόλεσι, καὶ διὰ τὸ δ' τέρπειν τοὺς παρομιάζοντας ἐν ταῖς τῶν ποιημάτων αἰσχρουργίαις, ἢ ὑποκείσθαι, ἐ χαίρουσι βλάπτειν, ἀλλ' ὅτι σωτηρίας χαίρουσιν ἑαυτῶν τε καὶ τῆς τῶν πόλεων οὐσίας. Μελπομένην δὲ καὶ Τερψιχόρην ἀκουστέον, τὴν μὲν μουσικὴν, καὶ τὴν ἀριθμητικὴν· τοὺς γδ λόγους τῆς ἁρμονίας ἡ ἀριθμητικὴ δίδωσιν· οἷον τὸν ἡμιόλιον, ἢ τὸν ἐπίτριτον, καὶ τὰς συμφωνίας αὖτε ἁρμόζει, τὴν τε διὰ τεσσάρων, καὶ τὰς λοιπὰς, τῇ κανόνι καὶ ταῖς κατομετρήσεσι συνταξαμένη. ἀλλὰ μὴν καὶ ταῖς ψήφοις τοὺς ψόφους κατασκιαζομένη, τὰ ἐξῆς διατρίβει τῇ Τερψιχόρᾳ, ἤγουν τῇ μουσικῇ τῇ περὶ τὰς χορὰς τῶν ἀκουόντων. Μελπομένη δὲ λέγοιτ' ἄν, οἷς τῇ μέλει ἐπομένη, μελετωμένη τοὺς ὕμνους. δεῖ γὰρ τὸν λόγον σύμφωνον εἶναι τῇ αἰσθήσει. τὰ δύο ταῦτα τὸ φωνητικὸν καὶ καὶ μὲν τὸν ἀκοὴν μὲν, ἄλλα ἔχειν, τὸν ἀριθμὸν δὲ ἕτερος· ὅτου γὰρ ἂν συμφω-

συμφωνίας λέγουσι. Ἔστι τὸ ἡ ἀλληγορία καὶ ὑπόνοια, οἷον μεταφορά, ὡς τὸ ὄνομα ἐπιμορφοῦσιν αὐτὸν καὶ τὴν ἀφοσιώσιν, οἷον ἀπὸ τῶν ἐμφύτων κινήτων ἐπὶ τὰ ἄψυχα γράφειν. Κλείω δὲ γοῦν, οἷον δοξάζω φιλοσοφίαν, οἷον κλέους τὸν ἀνδρώτα, καὶ ἀνδραγαθίζεσθαι, καὶ τὸ ἀπὸ ὄντων γράφειν. Καλλιόπη δὲ λέγεται ἡ ἡρωϊκὴ ταύτη γὰρ φίλον τὸ ἐπὶ τὴν λέξιν πέλλειν μέλος, καὶ τῆς διηγηματικῆς ἢ διγλωττίας ἐστὶν ἡ Καλλιόπη. τὰ καταρθώματα παραλέγει ὁ Ἡσίοδος. Ἀπὸ ταύτης τὸν υἱὸν Μοῦσαν ὁ Ζεὺς ἐπ' ὀνόματι τυχεῖν τῆς Μνημοσύνης σωφρονίσαι βουλόμενος ἐν τῇ Πιερίᾳ, καὶ τῶν χαμοῖσι τῷ Ἑλικῶνι γενέσθαι ἐκ τῆς ὄψεως ἑαυτὸν τῶν νῦν αὐτολεξάντων. χρῆται τῷ μυθικῷ μέρει ἡ ψυχῆς αὐτογένεσις, καὶ αὐτοδόσει ἐξ αὐτομάτου, ἢ ἐξ ἐπεσπασμένων αὐτῇ μαθημάτων, ἐπιγίνεσθαι καὶ συσήχειν αἱ ὄντως γαστρὸς μαθήσεις. δεῖ γὰρ μαθόντας ἡμᾶς, παλαιὰ, καὶ μνημονεύοντας αὐτῶν, καὶ χρῆναι οἷον ἕτερα ἄττα πλεόνεσιν, καὶ πάσι θεσπίσιμα κατορθοῦν, τραγικῶς θεῷ ἑαυτὸν τρεφομένους καὶ ἁπλῶς· ὥσπερ καὶ αὐτὸς ὁ Ἡσίοδος φοιτᾶσθαι Μουσῶν χρῆσθαι δὲ παλαιαῖς ταῖς ἐπιμεμαθημέναις μεθόδοις. ἀλλ' αἱ μὲν προοιμιακαὶ τοῦ Ἡσιόδου σχολαὶ ἄλλως ἐχέτωσαν. ἤδη δ' ἐπ' αὐτὸν τὸν προκείμενον θεογονίαν, ἢ μᾶλλον κατιέναι, τὴν πάντων φυσιολογίαν, ἵνα ἐπαγομένης ἄραντες εἰς τὸν διαπεράσωμεν τοῦ Ἡσιοδείου ἐπιμέτρου, τὸν πάντα νοῦν ἐπεξέλθωμεν γνῶσιν, καὶ τὸν γλαῦκα φέρεται ἐξῆς χειραγωγεῖν δυσωπούντας αὐτὸν, καὶ ἐμπνεῖν ἀρρήτως ἡμῖν τῆς βιαίας πάσης ἐκτεθέντες τὸν ἀγαθοδότην σοφίαν καὶ κρυφιομύστιδα. εἴπ δ' εἰρήσθω σοφὸν ταῦτα καὶ ἄκεσον, καὶ τὰς τῶν ποιητῶν διανοίας διφραστέον, ἐπειδὴν πάντως ὑπονοίας οἰητέον· εἰ δ' ἄχρηστόν τι καὶ ἄχαρι, καὶ τὰς τῶν ἐπιφερομένων εἰκὰς ἀναλίζειν, τῆς ἡμετέρας τομιδέων ἀποδέχεσθαι φύσεως, καὶ τὸ χρείττον ἐγκαταλήψεως.

ΣΧΟΛΙΑ

εἰς τὸν

ΗΣΙΟΔΟΥ

ΘΕΟΓΟΝΙΑΝ

Παλαιά.

Ἑλικῶνος ἀρχώμεθα καλὸν ὄρος καὶ ἱερὸν ἀνθρώπου φωνὴν ἀφιᾶσιν ὄρος ἐπιμορφοῦσιν. ὑπὸ Μουσῶν δὲ τὰ ἀφ' ἑαυτῶν ποιεῖται τὸ λέγειν, ὅτι αὐτὰ σοφίζεται καὶ τὰ λήθην. Μοῦσαι δὲ ἀπὸ τοῦ μῶσαι ὡς ἐρωτᾶν· ὅσαι μᾶλλον ἐξετάζουσι τὰ ἀποκείμενα, καὶ ἀνευρίσκουσι καὶ χρῶνται ἐν ἀνάγκαις, μᾶλλον ὅτι ἀπ' ἀλλήλων χωρὶς ἔστιν. εἰ γὰρ καὶ ἄλλον πάρεστι ἀκούειν ἄλλη χωρὶς τῶν μὲν ἀστρονομίας, τὴν δὲ γεωμετρίας, τὴν δὲ κιθαριστικῆς, ἢ δὲ ὠδῆς, καὶ ἑτέρας ἑτέραν, ἀλλ' ἐν ἑκάστῃ πάσας δεῖν εὑρεῖν. ἐν γὰρ ἀστρονομίᾳ καὶ γεωμετρίαν δεῖ πῆ καὶ κιθαριστικῆς καὶ ὠδῆς· ὡσαύτως καὶ ἐν ταῖς ἄλλαις. ἔστι δὲ καὶ τὰ ὀνόματα τῶν Μουσῶν ἐπιμορφοῦσιν ἐκ τῶν ἐνεργειῶν αὐτῶν. ἔστι δὲ Κλειὼ, Εὐτέρπη, Θάλεια, Μελπομένη, Τερψιχόρη, Ἐρατὼ, Πολύμνια, Οὐρανία, καὶ Καλλιόπη.

Μουσάων Ἑλικωνιάδων.] ἀπὸ τοῦ Μουσῶν ἀρχὴν ποιήσεσθαι τοῦ λέγειν, διότι αὐτὴ τοῦ λόγου ἀρχή. Ἑλικωνιάδες δὲ, ἀφ' οὗ Βοιωτοὶ, εἶπον αὐτάς. Ἑλικὼν γὰρ ὄρος τῆς Βοιωτίας. ἐπεὶ οὖν οἱ Βοιωτοὶ ἰδίως τιμῶσι διαφερόντως, ἐκεῖθεν εἰσὶν Ἡσίοδος

Ε᾽λικωνιάδων. καὶ δεῖξαι, ὅτι καὶ αὐτοὶ ἔχουσι μέρος τῆς προνοίας, καὶ ὅτι πάντα φυτῶσαι αἱ Μοῦσαι, ἔνθα βούλονται. Αἵθ᾽ Ε᾽λικῶνος] αἵ τινες Μοῦσαι. δηλαδὴ ὁ λόγος καὶ ἡ σοφία, Ε᾽λικῶνος ἔχουσιν ὄρος. αὐτὶ τοῦ αὐτὸν τὸν Ε᾽λικῶνα οἰκοῦσι σεσιφεσμένως, δηλονότι τιμῶ κεφαλῶ σεσιπολιδκοσι, καὶ εἰς τὸν νοῦν τὸν καθαρὸν καὶ ἀ ἡπτον ὀπτολεῖσι· καί τι σεῖ Ε᾽λικῶνα καὶ σεῖ βωμὸν ὀρχεῖσθαι] ἐν τῷ αὐτῷ γὰρ ὄρει καὶ χρήνη, καὶ βωμός· ἢ ἵππου χρήνη ὅπως λέγεται ἀναδοθεῖσα ἐκ τῆς ὁπλῆς τοῦ Πηγάσου. ἐν τῷ Ἀργει διψάσαντος τοῦ Βελλεροφόντου, ὁ Πήγασος τῷ σφόλι τιμῶ γλῶ πατάξας ὑξέβαλεν ὕδωρ, καὶ ἀπλήσθη ἵππου χρήνη. Ἄλλοι γὰρ πηγασαὶ ἐκ τοῦ ὄρους. ἰοειδέα γὰρ, αἰθώδη, μελάνυδρον. ἴον γὰρ εἶδος ἄνθους ἢ τιμῶ ἰοειδεσιφεσγμένῳ, αἰθώδη. ἢ διαυγῆ καὶ καθαρόν· δεῖ γὰρ τοὺς σεῖ λόγους ἡσυχλπιέντας, διαυγῆ καὶ καθαρὸν ἔχειν τὸ λογισμὸν καὶ μόνον τὸ λογισμὸν, ἀλλὰ καὶ τὸ σῶμα. καὶ διὰτοῦτο φησί, Καί τε λοεσσάμεναι χρόα καλὸν, ὡσεὶ ἀπαλοῖσιν Ὀρχεῖν. μάχεται τὸ ἀπαλοῖσι, καὶ τὸ ὑπὲρ ῥώσαντο· τὸ γὰρ σωφρονοῦν τῷ ἡρεμαίῳ ἀντίκειται· ἢ ὅτι πόδας μὲν εἶχον ἁπαλοὺς, ἐ ῥωμένους δὲ καὶ σωφρόνως ὠρχοῦντο, ἢ ὑπεσταλμένως ἐχόρευον. ἀνοίκειον δὲ παρθένοις, Μοῦσαι, τὸ ὑπόπτερον.

Ἐειδυίῃ.] μέλλων αὐτὸ λέγειν τιμῶ δυάδαμιν, εἶπεν ἐναῦθα τὸ ἐειδυίῃ, ἤγουν αὐτὸν Δία ἐν Ε᾽λικῶνι γιλῶ ὁ βωμὸς, ὡς εἴρηται, τῷ Διὸς τῷ Ἑπικωνίῳ. τέρενα χρόα] τέρενα, τὰ ἁπαλά, χρῆσιν οἰκειωσίαν τοῦ τ σεῖς τὸ θ, οἷον θέρενα. τὰ γὰρ ἁπαλὰ, ἀθέρμαντα καὶ ἀτέρενα. Περμησσοῖο.] Περμησσὸς ἢ ποταμὸς σεδαχείμενος τῷ Ε᾽λικῶνι. καὶ Ὁλμειὸς ποταμὸς ἐν Ε᾽λικῶνι ἢ Βοιωτίας, ἀπὸ Ὁλμειοῦ τοῦ Σισύφου παιδὸς. ὅσσαι ἰείσαι.] ὅσσαι ἀδῦται πορδίως δι᾽ ὅλης τῆς νυκτὸς. ὅσσαι, τιμῶ θείᾳ φωνῇ, καὶ τιμῶ θείαν καλδόνα. ὡς παρ᾽ Ὁμήρῳ· ἢ ὅσσαι ἀκούσαις Ἐκ Διός. ὅτι ἢ Ὅσσα, καὶ ὄρος Θεσσαλίας. χρυσέῃσι πεδίλοις.] τοῖς ὑποδήμασιν, ἅπτει γὰρ τὸ σεῖς τῷ πέδῳ εἶδ. ἢ σεῖς τὸ πῖς ποσὶν πίλεῖσθαι, τὰ σεῖς τὰς πόδας εἰλύματα. σωφρόνως δὲ καὶ τιμῶ οἰκειότητα. Καὶ θέμιν αἰδοίην.] αἰδοῖς ἀξίαν, τιμίαν. ἢ ὡς μαλαίρων πῦρ τὸ μαρμαρυκόν. ὅπου καὶ αἰδοίῃ, τιμῶ δι᾽ αἰδοῦς. τοῖς φρονίμοις ἀνθρώποις ὄσον ἀξίαν. ἐλικοβλεφάρου Ἀφροδίτης.] ἑλικοῦ, ὅτι μέγας, τιμῶ εἰλικοειδῆ καὶ στραγγάλῃ καὶ σεφυρῷ, καὶ σύσκιλλα σεφύκασι τὰ βλέφαρα ἔχουσι, ὅτι μεταφορᾶς τῆς τῶν ἀμπέλων εἰλίκων. Ἡ Κύπρον τε χρυσοσέφανον.] τιμῶ ἄνθεσιν, ὑπὸ τῆς στεφάνης τῶ γυμνασικῶ κόσμῳ, τῶ ὃν χρυσῶ καὶ λίθων κοσμοσχεδασμένῃ. Διώνιδος.] ἢ τιμῶ τῆς Ἀφροδίτης μητέρα, ἀλλὰ μίαν τῶν Ὠκεανίδων, τουτέστι τῆς Τιτανίδων. Σημείωσαι ἢ, ὅτι δύο Ἀφροδίτας οἴεται τιμῶ μίαν σωμάζδξεσ Θέμιδι καὶ χαροπάτιδα ὕσαι. Αἵ νυ πόθ᾽ Ἡσίοδον.] ἤγουν ἐμέ. καὶ Ὁ μὲν σεῖ αὐτὸ λέγει, ὡς σεῖ ἄλλα. ἀρχαῖον δὲ τὸ ἦθος, ὡς Ὅμηρος Ἥ που Ἀχιλλῆος ποθή. Ἡσίοδον φησὶ, τὸν ἑαυτοῦ. Ἑλικῶνος οὗτοι ζαθέοιο.] αἱ Μοῦσαι ἀπροπάτῳ Ε᾽λικῶνι ὡς θεαὶ, αὐτὸς ὑπεκπέπτωκε τῶ ὄρους ὡς βροτὸς ἀχραύλου] οἱ ἐν ἀγρῷ αὐλιζόμενοι. χαρίεσσαι οἷον.] οἰκεταὶ, αὐτὶ τοῦ σεῖ τιμῶ χαρίεσσι μέλεσι ἀχολύμενοι, καὶ μέτα τὰ τ χαρὰς φρονέοντες. Ἀπόλλωνος μὲν ὁ Ῥόδιος λείπεται τὸν ἑαυτὸν εἶναι φησίν· ἢ λείπεται, ἀλλ᾽ ἔστι, Ποιμένες ἄγραυλοι, καὶ ἀλέγχεα, χαρίεσσαι οἷον.

Ἴδμεν δ᾽ εὖτ᾽ ἐθέλωμεν] πολλή τις δῆ σεῖ ἡμᾶς ἀρετή· καὶ ἐγὼ ὡς φασί τινες, πάντα φαμὲν τὰ ψεύδη. τὸ γὰρ δε, αὐτὶ τοῦ ἐγ δέτιν. αὐτὶ τοῦ, Καὶ ἀληθῆ ἴσμεν λέξαι ἡμεῖς. τοῦτο δ᾽ σεμνοπροσδάζειν φασὶ τὸν ποιητήν, ἵνα ὡς τῆ Μουσῶν ἀληθείᾳ χρώμενος δοξάσειε τιμῶ μύθων τῆ θεῶν λόγοις, τῆ Μουσῶν διδαξασῶν ἡμᾶς. ἀλλ᾽ ἐχθέσιόδε ψιλῶς. ἀληθέα] μεδὲν διαφθείρειν δυνάμενα διαπαντῶσαι. γεύσῃ δ᾽ ἡγησάμενος, [μυθήσασθαι] αὐτὶ τοῦ εἰπεῖν. ἔνθεν γῆρυς, ἡ ἐμηλία. Ὅμηρος· ἢ διὰ γῆρυν. ἐκ δ᾽ τούτου γίνεται γῆρυξ, καὶ ζῶπῃ τοῦ γ εἰς κ, κῆρυξ, ὁ λέγων ἐν τῷ ἀπαγγέλλειν τὰς ἀγγελίας. ἀρπίστοιαι.] αἱ ἁπτεσθαίνεσθαι καὶ τέλειαι καὶ ὑγιεῖς γνῶσαι. ἢ ἀρτιέπειαι, αἱ ἀρτίοις ἔπεσι χρώμεναι.

Καί μοι σκῆπτρον.] ἤγουν ἐπεὶ πολύδωρος ὁ Ε᾽λικὼν, τὰς Μούσας ἐκ τῆς σφαχειμένης ὕλης ἔφυσεν δένδρα αὐτῷ πλάσδον. ἔφυτεν δ᾽ ὅτι Ἀπόλλων ὑπὸ ὁ δὲ θεὸς Μουσαγέτης.

(Ἐκ γὰρ τοι Μουσέων, καὶ ἑκηβόλου Ἀπόλλωνος, Ἄνδρες ἀοιδοὶ ἔασιν) ἢ παρόσον ἢ δάφνη ἐναργεῖ σεῖς τὰς ἐνθυσιασμούς. Σοφοκλῆς·

Δρόμῳ φαγὼν ὀδόντι σῆς τὰ σάρκα.

καὶ Λυκόφρων·

Δεσπο-

Δαφνηφάγον φοίβαζε ἀπ' λειμώνος ὄπα. καὶ πτίλματα μὴ θεῶν ἀπατήσιος ἐρέω. ἡ ἐπιδὴ ἡ δάφνη ἀείθαλές ἐστι, καὶ οἱ λόγοι αἰεὶ θάλλουσιν. τά τ' ἐσόμενα.] ὥσπερ καὶ Μουσῶν φησὶν ἀκούων μανθάνω τά τε ἐόμενα καὶ τὰ ὄντα, καὶ προγενόμενα· ἵνα δείξῃ, ὅτι ὁμοίων πᾶσιν ἡ ποίησις τῇ μαντείᾳ, τὸ κυριώτερον κεῖται ἀπὸ μάντεως, ἢ ὅτι πιστὰ, τὰ ἐσόμενα μὴ δυναμένου λέγειν τὸ πιστόν.

Σφᾶς δ' αὐτάς.] αὐτὰς ἢ ὑμνεῖν φρῶτον τὸ καὶ ὕστερον· ὡσαύτως ἀεὶ. ἀλλὰ σύ, ὦ Ἡσίοδε, παύου τῶν ἀρχαίων ῥημάτων, παῦσαι κομψοποιῶν, παῦσαι μύθους ληρωδῶν ἀλλοκότους. τὸ ἢ τυφὼς, φησὶν ἑαυτὸν κατὰ ἀρχαϊσμόν· αὐτὸ τὸ σὺ ὦ Ἡσίοδε, δωρικῶς.

Ἀλλὰ τίη μοι ταῦτα.] ὥσπερ ἀπορῶν ἐαυτῷ ἡ ὁμιλία, ἣν ἤρξατο λέγειν, ὅτι σὺ Μοῦσαι ἐδιδάξατέ μοι, καὶ τάλλα. καὶ φησὶ, Τί μοι ταῦτα τὰ ῥήματα, ὡς ἀεὶ δρυὸς, ἢ ἀεὶ πέτρης, τί μοι χρεία ἐστὶν ἀρχαιολογεῖν; ἃ γὰρ πάππος μυθολογίαν ὄζει ἀνευ ἀληθείας, εἰς τὸ αὐτὸ τοῦτο ἐπεύχεται ἀρχαίῳ λόγῳ, καθάπερ ἐν δρυσὶ καὶ πέτρης κατατιθέμενα τέκνα, ἃ λέγουσιν αὐτὸς ἐκ δρυὸς γεγονέναι καὶ πέτρης.

Ἄλλως. παροιμία ὅταν τις καιρὸν τινὸς αὐτὸν καταπείσαντος ἀεὶ ἄλλον λέγειν, ὁ ἢ ταῦτα ἀφεὶς ἄλλοις χρῆται καὶ ἔστω ἔν ἀφεὶς ἀεὶ τῶν προκειμένων αὐτῷ λέγειν, ὅτοι τ' τῶν θεῶν γενέσεως, ὅπως αὐτῷ αἱ Μοῦσαι ἐδώκαν κλεϊδὸν λέγει. Φωνῇ ὁμηρεῦσαι.] ὁμῷ εἰρῆσαι, ἢ τῇ φωνῇ συμφωνῆσαι, ὁμῷ τῇ φωνῇ λέγεσθαι. τὸ ἢ εἰρῆσαι, ὃ ὄζει λέγεσθαι, ὑμῆσαι. γελᾷ δέ τε δώματα πατρός.] ἀπὸ αὐθῶν πόνων ἡδυτάτων χαίρουσιν οἱ οἶκοι τοῦ Διός. ἢ τὸ γελᾷ, αὐτὶ τοῦ διαχεῖται τῆς φωνῆς συνδραμούσης, ἠχεῖ καὶ γελᾷ τὰ δώματα. τὸ δὲ θεῶν, ἀντὶ τοῦ θεῶν, δωρικῶς. πᾶσαν γὰρ τὴν φωνὴν ὁ Ἡσίοδος ὅσαν καλεῖ.

Θεῶν γένος αἰδοῖον φρῶτον κλείουσιν ἀοιδῇ.] τὸ τίμιον γένος τῶν θεῶν ὑμνοῦσι καὶ δοξάζουσι τῇ φωνῇ, ὡς ἐξ ἀρχῆς ἔτευξε ἡ Γῆ καὶ ὁ Οὐρανὸς, καὶ τίνες ἐκ τούτων γενόμενοι. λέγει ἢ τοὺς Τιτῆνας. Δεύτερον αὖτε Ζῆνα] ἀρχόμενος τοῦ δευτέρου φροιμίου, τ' Δία ἐκ δευτέρου ὑμνῆσαι ἀρχόμενος καὶ λήγουσα ὡς θεὸν, ὡς ἀπ' αὐτοῦ ἄρχουσα, καὶ εἰς αὐτὸν λήγουσα, διὰ τοῦ πίλου. Τὰς ἐν Πιερίῃ.] δείκνυσιν ὅτι Βοιωτία μὲν ἦν ἡ Μνημοσύνη, ὁμόγη ἢ τῷ Διὶ ἐν Πιερίᾳ ὄρει Μακεδονίας, ἐν ᾧ ἐγενήθησαν αἱ Μοῦσαι, πλησιαίτερον ἢ ὡς τῆς Θρᾴκης. Κρόνος τέκε πυθὸν ἐπ' ἀκροπάτης κορυφῆς.] λείπει τὸ, ἔσαν τοῦ Πιερίαν ὄλυμπον. ταύτας Μόσας τῷ ἰδίῳ παρὰ μιγεῖσα τῷ Διὶ ἡ Μνημοσύνη ἐγέννησεν, ἡ τῶν λιπαρωτάτων τόπων τῶν Ἑλλάδος ἄρχουσα. σὺν αἷς καὶ τοῦ Λήθου, τοῦ τῶν πολυλύπων μερίμνων ἀνάπαυσιν. ὁ ἢ Ἑλλὴν βασιλεὺς λιπὼν τὴν χώραν, καὶ ὄρος ἐπ' ὀνόματι τοῦ ἥρωος, υἱὸς Ἀπόλλωνος, καὶ Αἰθούσης τῆς Ποσειδῶνος. Ἑλλάδης ὄνομα πόλεως τῆς Βοιωτίας. ἐκ τούτου δόξαν ἔσχε τῇ ἑαυτοῦ χώρᾳ, ὅτι ἐγενήθη μὲν ἐν Πιερίᾳ, ἀλλ' ἡ μήτηρ τῆς τ' Ἐυβοίας καὶ Μνημοσύνη ὄνομα γυναικὸς ὅσα (φησὶν) ἡ Μνημοσύνη τιμᾷ. ὅτως λέγει, ὅτι ἐκεῖ Διόνυσος τ' μανίας ἐπαύσατο, καὶ ἐλαθέσθη. Λησμοσύνητε.] δεῖ γὰρ τὸν συγγραφέα ἔχειν νῦν καὶ μίμημα, ἵνα ᾖ μυθικὸς λόγος. καὶ ὅτι ἐν ταῖς ἀναγνώσεσι χρὴ δεῖ προσέχειν τὸν συγγραφέα.

Ἐννέα γὰρ οἱ νύκτες.] ἀπορήσειε ἄν τις, πῶς Ἡσχυλὴς ἐν μιᾷ νυκτὶ πεντήκοντα διεκόρεσε κόρας, καὶ κύησαι ἐποίησε, ὥστε καὶ τεκεῖν πεντηκοντὰν τέκνον, τὴν φρῶτα δίδυμα τεκούσης, Ζῆς ἢ ἐννέα ἡμερῶν ἐλήθη; φαμὲν τοίνυν, ὅτι χρείαν ἔχε Μνημοσύνη συγχῦσαι, ἵνα σύλληψιν τῶν Μουσῶν, εἰδὼς ὅτι ὁ ἔρως τὰς Μούσας ἔρως, καὶ ἡ ἡδονὴ βεβαίως αὐξήσειε· διὰ τοῦτο τῷ ἐντελεῖ κέχρηται ἀριθμῷ· ὅθεν καὶ ἐννέα τίκτουσι Μοῦσαι. ἐδεῖτο γὰρ ἐλλείπον ταῖς Μούσαις. νόσφι ἢ εὐνῆς, ἐκπάγλως τὸ ἱερὸν, ἵνα μὴ νομισθῇ μοιχεία. Ἀλλ' ὅτε δὴ περ' ἐνιαυτὸς] ἀποδιαίρεσιν ἐνταῦθα τῶν χρόνων ποιοῦνται καὶ ἄρχεται ἀκολούθως ἀπὸ τῶν ὡρῶν· λέγω δὴ τῶν ἐνιαυτῶν. εἶτα εἰς τὸ καθέκαστον καὶ τὸ εἶδος ἀπὸ γὰρ τῶν ὡρῶν αἱ ἡμέραι συνίστανται, ἀπὸ δὲ ἡμερῶν οἱ μῆνες, ἀπὸ ἢ μηνῶν οἱ ἐνιαυτοί. δεῖ δ' ἕπεσθαι ὧδε] αὐτὶ τοῦ ἀπὸ ἓν πᾶν εἰς ἓν πᾶν ἰέναι εἰς τὸ αὐτὸ κατέστησαν. ἦλθε δὲ πλῆθυν ὁ χαμὸς. ὁμόφρονας.] ὁμοίας ἑαυτὰς φρονούσας, ἢ τὸ αὐτὸ φρονούσας, καὶ μὴ ἐναντιουμένας ἀλλήλαις. Ἄλλως. ἐκ ὥσπερ Ἀμφίων καὶ Ζῆθος, ἀδελφοὶ μὲν ἦσαν, ἐτερόζηλοι δὲ μεγάλαις ταῖς φρεσιζήτησιν. ἀλλὰ τοῦτο αὐτοῦ τῆς

ἐπιπλοκάμων ἔχον περαίρεσιν. ἢ ὅτι δείκνυται τὰς λοιμικὰς ὀπτήμας, ἀλλήλαις ὁπτοφωτύσασα· τὸ δὲ [χέρας,] Δωρικῶς σωίζεται. Μέμ-φλεται.] μέλλει, ἐν φροντίδι ὄζει. τὸ δ' [αἰκηδέα] ἄχρων ἄλυτον, ἤτοι λευκόν. δεῖ γὰρ τὸν ἐπὶ λόγοις ἀχολέμενον, ἀφρόντιστον καὶ ἄλυτον εἶ). Τυτθὸν ἀπ' ἀκροπάτης.] ἀντὶ ἐρκατέων ὄζει, τὰς ἐν Πιερίᾳ τέκα πλῆθον ἀπὸ τῆς Ὀλύμπου. ἐγγὺς γὰρ ἡ Πιερία τοῦ Ὀλύμπου. Παρ' αὐτῆς Χάεσσιν.] ἀντὶ τοῦ ἐπὶ τὰς Μούσας πάρεισιν. Ἄλλως. φησὶ γὰρ, ὡς ὅτι ὄζει ἐν Ἑλικῶνι Χαρίτων ἱερὸν, καὶ Ἱμέρου, καὶ Μουσῶν. Ἵμερος δὲ, ἡ ἐπιθυμία. χαὶ λόγον δὲ Ἵμερος καὶ Χάεσσιν συνοικοῦσι ταῖς Μούσαις. ἔτι γὰρ Χάεις, καὶ ἡ ἐπιθυμία, οὐ μόνον τοῦ Μουσῶν δώρου. ἢ ὅτι ὁ χρηστὸς ποιητὴς οὐ μόνον ὄζει πολυμαθὴς καὶ δωρικὸς, ἀλλὰ καὶ ἐπίχαρις, καὶ γαμύλος, ὡς Εὐριπίδης·

Καλῶν παυσαίμην ταῖς Μούσαις τὰς Χάεντας συγκαταμιγνύς. τὸ δ' [Ἐν θαλίῃς,] ἐν τῇ ὠχίᾳ γὰρ πάντα ὄζει τὰ μυστικά. ὅσον εἶπεν, ὅσαις δύναμιν κλεηδόνος ἔχουσι τοῦ λέξαι, εἶχε δὲ τῷ μελλόντων διαγορεύσει.

Νόμους καὶ ἤθεα κεδνά,] νόμους μὲν λέγει, τὰς πολιτείας καὶ τὰς διαιρέσεις, τὰ δικαστήρια. καὶ ἤθεα κεδνά] ἤθεα δὲ, τὰ ἔργα. τοὺς νόμους γὰρ οἱ μὲν εἶσι φυσικοὶ, οἱ δὲ τοῦ θεῶν, οἱ δὲ τοῦ ἀνθρώπων. εἰ δὲ νόμος εἰς σοφὸς ἀγαπήσεις, τοῦ αὐτῶν ἕξις διάνοια. Αἶ τότ' ἴσαν.] ἐπαφίασιν αὐτοῖς, εἰς δὲ λογισμὸν μὴ ἐπῆλθε γνῶσις, ὥστε κόπους χρῆσαι εἰς τὸ ψεύδος μὴ σοφὸν ἀπομιμήσατο ψεῦδα ἀ Ἀριστοφάνης νῦν δὲ ἀνόδυ αὐτῶν φησὶ τὸ εἰς τὸν Ὄλυμπον. ὁ δὲ πότερος γὰρ ἰδίῳ λόγῳ αὐτοῦ, δεῖ αὐτῶν ἐν τούτῳ αὐτῶν χρείας. Τί μοῦσαι, ἐρωτᾷ.] ἢ γὰρ σωθῶσι τὸ λόγῳ ἡδονὴν ποιεῖ, καὶ δείκνυσι τὸν ποιήσαντα αὐτὸν τίμιον, καὶ πάντα χρὴ διαζεύγνυσθαι, πλὴν εἰ σώφρων καὶ σωστὸς εἶη.

Νεικοφόνον πατρὸς ἐὸν.] πρὸς μάχην αὐτῶν πρὸς τὸν ἑαυτῶν πατέρα. ἔνθεν ἦν εἰπεῖν, φοβῶν, πρὸς μάχην αὐτῶν πρὸς τὸ ἴδιον πατέρα, ὃς ἐν μεγάρῳ βασιλεύει.

αὐ ἦ ἔπεμψε Διὸς θυγατέρες δίκαξεν.] τοῦτ' ἔστιν ἑκάστῳ τῶν θεῶν χιλοὺς τινὰ ἀμοιρὸν τιμῆς παρέχα τιμὴν ἔχειν. τὸ δὲ [δίκαξεν] μὴ ταξέως διαιρεῖσθαι, ἤγουν τὰ ἔπαπτα εἰς ταξιν ἤγαγεν ἑκάστῳ μεταδοὺς τῆς οἰκείας ἀρχῆς. Τιμὰς δὲ λέγει τὰς πολιτείας, τὰς διαιρέσεις, τὰς νομίσεις, δικαστήρια. ἤθεα δὲ τὰ ἔργα. Ταῦτ' ἄρα Μοῦσαι ἴδασιν.] ἀνὰ δὲ ἐπιγράμματα μετὰ ἐπῳδῆς τὰ ἔργα ἐπιφέρουσιν, ὡς καὶ Ὅμηρος· Ὡς ὁ γέρων ἔφατο· μάλα δ' ἐπήνησαν Ἀχαιοὶ, ἔπεα θυμαλγέα. ἔστι δὲ τοῦτ' Μουσῶν εὐφήματα τοῦτο. Κλεινὴ Γαστερόπη, Ἑτέρπη ἀμφιπόλε, Θάλεια χαριμένη, Μελπομένη τραγῳδίαν, Τερψιχόρη κιθαρῳδίαν, Ἐρατὼ ποίησιν, Πολύμνια γεωμετρίαν, Οὐρανίη ἀστρονομίαν, Καλλιόπη ἐπικὴν καὶ ἀντιφωνητικὴν εἶπε πασῶν, ὅτι πάσης ἐπιτίμιος ὁ λόγος αὐτῶν, διὰ τὸ τὴν ποίησιν αὐλεῖσθαι εἶ). Ἀείσατε τὸ προσῆκον, αὐτὶ τοῦ πρέπον ἐστὶν ἄκουστον ἄκουσον, ὅτε ἄλλον, πότερον τὸν πρῶτον, ἢ τὸν χείρονα ἀνθρώπων, οἱ δὲ ἀθανάτων τιμὰς. ἀμφ' ἀοιδοῦσιν.] ὅτι οὐ πᾶσιν ὁμοίως, ἀλλ' οἷς τοῖς αὐτοῖς ἐστὶν ἡ ἀρετὴ ἐν τῇ ἀνθρώπου δικαιοσύνῃ, ἀλλ' ἐν' ἄλλης ἀρχῆς.

Ὅντινα πρόσφρονα Διὸς κοῦραι μεγάλοιο,
Γεινόμενον τ' ἐσίδωσι διοτρεφέων βασιλήων,
Τῷ μὲν ὅπ' γλυκερὴν χείουσι δρόσον ἐπιδδάν,
Τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
Πάντες ἐς αὐτὸν ὁρῶσι δικαζόμενον θέμιστας
Ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων
Αἶψά τε καὶ μέγα νεῖκος ὀπισσάμενος κατέπαυσε.
Τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
Βλαπτομένοις ἀγορῇφι μετάτροπα ἔργα τελεῦσι

Quemcunque honoratum sunt Iouis filiæ magni,
In lucem editumque aspexerint a Ioue nutritorum regum:
Huic quidem super linguam dulcem fundunt cantilenam,
Huius verba ex ore fluunt blanda: cæterum populi
Omnes ad ipsum respiciunt, discernentem ius
Rectis iudiciis. hic autem iure cuncta loquens,
Statim etiam magnam contentionem sedare diremit.
Propterea enim reges prudentes, quod populis
Damno affectis in foro mutua integras restituunt

Ῥᾳδίως

Ῥηϊδίως, μαλακοῖσιν ἀγαλλόμενος ἐπέεσσιν.
Ἐρχόμενον δ' ἀνὰ ἄστυ, θεὸν ὡς, ἱλαόν τε
Αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει αἰζηοῖσιν,
Οἷα δὴ Μουσάων ἱερὴ λόγος ἀνθρώποισιν.
Ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί·
Ἐκ δὲ Διὸς, βασιλῆες· ὁ δ' ὀλβιος, ὅντινα Μοῦσαι
Φίλωνται· γλυκερὴ οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Εἰ γάρ τις καὶ πένθος ἔχων νεοπενθὴς ἀδίνῃσι
Ἀζηχὲς κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλέεα προτέρων ἀνθρώπων
Ὑμνήσῃ, μάκαράς τε θεοὺς, οἱ Ὄλυμπον ἔχουσι,
Αἶψ' ὅγε δυσφροσυνέων ἐπιλήθεται, οὐδέ τι κηδέων
Μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε τέκνα Διὸς, δότε δ' ἱμερόεσσαν ἀοιδήν·
Κλείετε δ' ἁγνὸν γένος ἀθανάτων ἱερὸν αἰὲν ἐόντων,
Οἱ Γῆς ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος,
Νυκτός τ' ὀλοφροσύνης, θ' ἁλμυρὸς ἔτρεφε Πόντος,
Εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο,
Καὶ ποταμοὶ, καὶ πόντος ἀπείριτος οἰδμασι θύων,
Ἄστρά τε λαμπετόωντα, καὶ οὐρανὸς εὐρὺς ὑπερθεν,
Οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων.
Ὥς τ' ἄφενος δάσαντο, καὶ ὡς τιμὰς διέλοντο,
Ἠδ' ἠμὲν ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
Ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι
Ἐξ ἀρχῆς, καὶ εἰπατ' ὃ, τι πρῶτον γένετ' αὐτῶν.
Ἦτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου·

Facile, mollibus alloquentes verbis.
Incedentem vero per vrbem, velut deum, placidum
Reuerentia blanda eminet v. inter ipsos congregatos,
Tale Musarum ingens munus hominibus.
A Musis enim, & eminus feriente Apolline,
Viri cantores sunt super terram cithara edita
Et reges. reges ille v. beatus, quemcunque Musæ
Amant: fluxit ei ab ore fluit vox.
Quod si enim quis luctum habens recens dolore luctuq; animo
Tristetur, animo dolens, cæterum Poeta
Musarum famulus res claras priscorum hominum
Laudibus celebrauerit, beatosq. deos qui Olympum incolunt,
Statimhic sollicitudinum obliuiscitur, nec quicquam dolorum
Meminit: cito enim vim deflexerunt eum alio dona deaum.
Salvete natæ Iouis, date vero amabilem cantionem
Celebrate quoque immortalium diuinum genus semper existentium,
Qui Tellure progenati sunt, & cœlo stellato,
Nocteq. caliginosa, quosque salsus nutrivit Pontus.
Dicite insuper, vt primum dij & terra fuerint,
Et flumina, & pontus immensus, æstu furens,
Astraque fulgentia & cœlum latum superne:
Et qui ex his nati sunt dij, datores bonorum,
Vtq. opes diuiserint, & quo modo honores distinxerint,
Atque quomodo primum multis implicitum sphætis tenuerint cœlum.
Hæc mihi dicite Musæ, cœlestes domos inhabitantes
Ab initio, & dicite quodnam primum fuerit illorum,
Primo omnium quidem Chaos fuit, ac deinde
Tellus lato pectore prædita, omnium sedes tuta semper
Immortalium, qui tenent iuga Olympi,

ΑΛΛΗΓΟΡΙΑΙ.

Ἦτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀλλαχοῦ μὲν ἄλλως τὴν φυσικὴν ἀνάγων ἱστορίαν καὶ τὰ ὄντα γένεσιν φυσιολογῶν, ὁ μὲν τὸ ὕδωρ τιθεὶς πρεσβύτερον τῆς ἄλλης, ὁποῖός Ἡσίοδος ὁ τὴν γῆν, ὡς Ἵππων ὁ Ἄθηναῖος ἕτερος ἦν ἄλλοτι. Ἡσίοδος ἦν γοῦν τὰ ἄλλα ἐν τῷ ὕδατι, καὶ ἐξ ἀϊδίου πάντων τὸ ὕδωρ τίθησιν, ὡς καὶ τῆς χύσεως παρεσομένης χάος· χυτὸν γὰρ καὶ ῥητὸν τὸ ὕδωρ. ἐξ αὐτοῦ δ' οἶμαι καὶ τὸν

Μηλήσιον θαλητα τὴν δόξαν ταύτην σφετεί-
σασθαι, καὶ Πίνδαρον, ἄριστον τὸ ὕδωρ λέγοντα,
ὕστερα δὲ ἡ γῆ παρεῖναι μὴ τὸ χάος, διλόγως·
τοῦ γὰρ ὕδατος τὸ μὲν κινούμενον, καὶ εἰς ὁλοχερε-
στέραν φύσιν συνισταμένου, ταχύ τι καὶ μοδίστερον
τὸ συναγόμενον γενέσθαι· μανούμενον δὲ καὶ ἀραιούμε-
νον, εἰ μὲν ἦπιον, εἶναι ἀναθυμιάσεις· εἰ δὲ μᾶλλον
λεπτομερίστερον, πνεύματα πῦρ τὸ ὑπερκείμενον ἀπερ-
γαζόμενον. λέγει δ' ἐντεῦθεν ἡ γῆ ἑδραίαν μὲν ἀσ-
φαλείᾳ τῶν τῆς ὑγρᾶς ἰδιοτήτων, καὶ τὸ ὑποχθονίαν,
παρόσον σημεῖόν ἐστι τὸ ὑγρὰν καὶ ἀπὸ μιρῶν αὐ-
τὴν, δηλαδὴ ἀπὸ τε ἄνω ἄστρων καὶ ἀπὸ κάτω.
ἀγήρω δὲ πάσχουσαν, διότι τὸ ἀκίνητον ἑδραίᾳ
ἕδρᾳ δὲ φύσεως τῆς ὑγρᾶς κατάστασις, τὸ μεσαί-
τατον τοῦ παντὸς ὄντος, ἠρεμεῖ ἡ γῆ ἀκίνητος
μένουσα· ἔστι δὲ καὶ ὅπως εἰπεῖν ὅτι ἡ γῆ ἑδραία λέ-
γεται ἀπὸ θεῶν, παρόσον κυκλικῶς τὸ ὑγρᾶς κι-
νουμένης, αὐτὴ ὅτιπερ αἰτία· τὸ γὰρ κέντρον τοῦ κύ-
κλου αἴτιον φανῆναι γὰρ ἡ ευγμὴ, καὶ ἡ τοῦ κέντρου
πῆξις, καὶ τότε ἀφίστασθαι θύειν φασὶ τὰ νεκρὰ λέγειν τὰ
ὕδατα, καὶ ἁπλῶς τὰ ὑγρὰ σώματα, διὰ τὸ
θεῖον αἰεί. Ἔρωτα δὲ ἀνταῦθα νοητέον, ἢ τὸν τῆς
Ἀφροδίτης παῖδα (πῶς γὰρ τῆς μητρὸς μήπω
γεγονυίας, ἔτος ἂν ἦν;) ἀλλ' ἄλλον τινὰ
προσβυθῆ ἔρωτα ἀκατάληπτον. οἶμαι δὲ τὴν ἐγ-
κατασπαρμένην φυσικῶς κινητικὴν αἰτίαν ἑκά-
στῳ τῶν ὄντων, καθ' ἣν ἐφίεται ἕκαστον τοῦ εἶ· τὸ
μὲν, νοερῶς· τὸ δὲ, αἰσθητικῶς· δεῖ γὰρ προϋπο-
κεῖσθαι τὴν ἐν ἑκάστῳ ἐπιτηδειότητα καὶ ὁρμήν,
πρὸς τὸ, τόδε τι γενέσθαι. ὁ δὲ χάος ὁ τὸ ἔρε-
βος καὶ ἡ νὺξ γενᾶσθαι, δηλαδὴ, ὁ ἀπὸ τοῦ πρὸ
τῆς διακοσμήσεως ὑγρᾶς ζοφώδης καὶ σκοτεινὸς
ἀὴρ, ὅστις δὴ λεπτυνόμενος εἰς αἰθέρα καὶ εἰς
φῶς μετέβαλεν, ἢ ὅτι ἐκ τῆς στερήσεως πάντα
φοβεῖται, διὰ τοῦτο τὸ χάος ἀρχέγονον λέγε-
ται. ἀπὸ δὲ τῆς νυκτὸς καὶ τοῦ ἐρέβους μιγνυμένων,
ἡ ἡμέρα καὶ ὁ αἰθὴρ γενᾶσθαι ὅτι ὁρῶμεν τὸν αἰ-
θέρα κεκοσμημένον τισὶν ἄστρασιν ἐν τῇ νυκτί, καὶ
ὅτι ἡ ἡμέρα γίνεται νυκτὸς ἀποχαρούσης. ἔρε-
βος δ' ἂν εἴη, ὁ κοσμητικὸς λόγος καὶ τακτι-
κός, ὁ ἐντεθεὶς ἡμέρᾳ τε καὶ νυκτὶ, καὶ πτιῶν ἐρέ-
βεσθαι, ἤγουν καταλαμβάνεσθαι θάτερον ὑπὸ θατέ-
ρου· νὺξ γὰρ νυκτὶ οὐκ ἄλλη γνώσιν, καὶ ἡμέ-
ρᾳ τῇ ἡμέρᾳ ἐρεῖ γῆμα· ὑποχαρούσης μὲν γὰρ
τῆς νυκτὸς, ἡμέρα ἔρχεται, καὶ ἡμέρας περιπα-
ζομένης, ἡ νὺξ ἀφικνεῖται, ὡς ἂν πρὶ κοσμήσεως
τῆς ἐν αὐταῖς ἐντεθείσης πρὸς τὸ δημιουργεῖν λό-
γῳ, τὸ πᾶν συστήσασα καὶ φυλάξασα. ἡ γῆ δὲ
τὸν ἑαυτῆς ἴσον ἑαυτῇ γῆν, διὸ πάντες λόγον
ἐσχήκασι περὶ τὸ πᾶν, αἰτίαν ὅτι τῆς κυκλικῆς
αὐτὰ διακοσμήσεως, ὡς εἴρηται πρότερον. ἐδρᾷ
γὰρ τὰ κάντρα περιπατοῦντος, ἀεροειδοῦς
πέριξ τὸν κύκλον. ἴσον δ' ἑαυτῇ λέγεται τὸν
ἐρεβον γῆν ποιῆσαι ἵνα ὡς καὶ πᾶν μέσον ἑαυ-
τῆς ἀφεστηκότα ἴσης ἡ χώρας. τόσον γὰρ ὑπερβὰς
ἐς ἀπογαίους, ὅσον ἔνερθεν αἰδαο αὐτὴν. ἡμε-
ρᾷ δὲ καὶ τὰ ὄρη ἡ γῆ, ἐν οἷς κατοικοῦσιν αἱ Νηρεί-
δες, καὶ τῶν θεαμάτων, ἅπερ φιλόπονος, περι-
έχον ἐν ταῖς κοίλοις αὐτῆς μέρεσιν ἡ θάλασσά
τε ὀπίσω, καὶ συναθροίσθη τὰ ὕδατα, τὰ ὄρη δὲ
ἀεὶ τὰ αὐξόμενα τῆς συνιζήσεως ἔλαβε τὰς
ἐξοχὰς, καὶ κατεξανίζουσι πόλεις. τὸν δ'
Ὠκεανὸν οὐκ αὐξάνεται φιλόπονος ἐφιμέρου,
ἀλλ' ἑαυτῷ συμβέβηκε, ὅτι συνεστι μὲν τοῦ ὑγρα-
νθῆ καὶ πίδαξ ἑαυτῆς μὴ τὸ ὑγρὸν συμπεπλέχει
τὸν λεγόμενον ὠκεανὸν φιλόπονα δὲ ἐφιμέρου
ἅμα πνοὴ συνέλαβεν ὁλόκληρος ἀναγκαίως·
ὅθεν καὶ τὰ θαλάσσας καὶ τὰ ὄρη οὐκ φιλόπονος
ἀπεγένοντο· ἐγὼ δὲ οὐ συνελάβη πρὸς τὸ τὰ-
χιον φθαρῆναι, ἢ ἀφανισθῆναι· ἀλλ' αὐτὴ μόνη καὶ
τὸν ἑαυτῆς ὑποκρεμάζουσα καὶ τὸν ἐκμάζουσαν,
ταῦτα ἀπεγένοντο.

ΣΧΟΛΙΑ.

Γενέσθαι τ' ἐσίδοντο] ἀντὶ τοῦ ἀμερῶς
διάσον ἦ, καὶ ὅν πνα βασιλέα ἴδωσι καλοῖς
ὀφθαλμοῖς ἐστεμμένον καὶ Καλλίμαχος. Μῶσαι
γὰρ ὅζος ἴδον ὄμματι παῖδας Μὴ λοξῶς, πολ-
λοὺς ἐκ ἀφθόνου φίλους. Ἔρις:] ἡ δρό-
σος ὑετοῖς. νῦν ἦ μεταφορικῶς τὸ μέλι. γλυ-
κερὴν ἦ, τὸ γλυκὺ καὶ ἁπαλὸν τῆς λόγου. Τέ-
κνεα γὰρ βασιλῆες ἐχέφρονες.] διὰ τοῦτο γὰρ
οἱ βασιλεῖς ἐχέφρονες εἶσι, καὶ καλοὶ ἦ, ὅτι τοῖς
ὄχλοις βλαπτόμενοις δι' ἀγνωσίαν τοῦ δικαίου,
μεταβίβαντες τὰς ἀδικίας αὐτῶν, ὅτι τὸ βέλ-
τιον τελοῦσι τὰ ἔργα, οὐκ ὀξυσιαστικῶς, ἀλλὰ
παραινετικῶς· ἤγουν, οὐ κολάσει, ἀλλὰ μειλι-
χίοις λόγοις. τοῦτο γὰρ τὸ [μαλακαῖσι σφεα-
φαμένοι ἐπέεσσιν]. Ἄλλως. μὴ πειθῆς νέ-
μεσι τῶν δικαιοσυνῶν. μετατρέπουσι γὰρ τὰ
ἔργα, τοὺς ἀδικημένους ἀνεξιόξαντες, καὶ τὸν
ἀδικοῦντα ἀναπαύοντες· οὐ κολάσει, ἀλλὰ
μειλιχίοις ἐπέεσσι.

μετὰ-

μεταλήγειν.] ἀντὶ τοῦ μεταβάλλεσθαι εἰς τὸ βέλτιον.

Ἐρχόμενον δ' ἀνὰ ἄστυ] ὑπὸ ἀσπάζεσθαι, ἀντὶ τοῦ φίλτρῳ τοῦ βασιλέως ὄντος καὶ δικαίῳ πρὸς τοὺς κρινομένους, μὴ ἀλαζόνος πρὸς τοὺς ὑποδεεστέρους. ἀνὰ ἄστυ.] χρ. [ἀν' ἀγῶνα.] ἀντὶ τοῦ ἀνὰ τὰ ἔθρισμα λέγει ἢ πρίχους. αὐτὸ τὸ χωρίον, ὃ ἐν αὐτῷ ὄχλος, καὶ τὸ ξυναφροντιστήριον, ὥσπερ καὶ πόλις ὑπομολογεῖται· ὅτε τὰ φῦλα χωρὶς ἔχων, ἀλλ' εἰς. ἐκφέρη. οἱ δὲ ἐν τοῖς ἀθροίσμασιν ἄγωσι λέγουσι. ὡς Ὅμηρος [νηῶν ἀγύρει,] ἀντὶ τοῦ ἐν ἀγῶνι. Τὸ δέ, [δίκην ὡς ἐλάσσων.] ὡς δίκην αὐτὸν τιμῶν, διὰ τῶν περιαιρέσεων αὐτὸ τοῦ τιμᾶν.

